ECLOGA

LEONIS ET CONSTANTINI

CUM

APPENDICE

ECLOGA

LEONIS ET CONSTANTINI

CUM

APPENDICE

EDIDIT

ANTONIUS G. MONFERRATUS
Antonios G. Mompherratos

ATHENIS
TYPIS FRATRUM PERRI
1889

Fi:ty
:1

7/22/30

VIRO CLARISSIMO

C. E. ZACHARIAE A LINGENTHAL

HONORIS ET REVERENTIAE CAUSA

D.

EDITOR

PROLEGOMENA

Mense junio hujus anni vir palaeographiae peritissimus Johannes Sakellion, curator librorum manuscriptorum bibliothecae publicae Atheniensis, benevole me invitavit ad codicem quemdam inspiciendum, primis foliis mutilum, sed maximi pretii, Synopsin Basilicorum continentem, saeculo XI exaratum. Inde mihi occasio oblata est alios quoque nomocanones et codices, ibidem ordine depositos, perlustrandi. In his est codex monacensis numero I signatus. Constat ex foliis chartaceis 393, formae quae in folio vocatur; eadem manu est totus scriptus, scriptura satis nitida. De aetate codicis nihil in ipso adnotatur, ad hanc tamen deductus sum opinionem, quae etiam Sakellionis est, ut eum fine saeculi XVI scriptum fuisse conjicerem. In ligatura est nota, quae originem codicis declarat, haec; Τὸ παρὸν βιϐλίον ὑπάρχει τῆς ὑπεραγίας θεοτόκου καὶ ἀειπαρθένου μαρίας εἰς τὸ δηϐροϐούνη τὸ ἐπίκλην στύλου[1]. Continet autem haec (initium); Πίναξ σὺν θεῷ ἁγίῳ τοῦ παρόντος β:ϐλίου περιέχων ὅλους τοὺς κανόνας τῶν ἁγίων ἀποστόλων καὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν ἑπτὰ συνόδων καὶ τῶν τοπικῶν, μεθ᾽ ὧν καὶ τοῦ μεγάλου Βασιλείου καὶ ἑτέρων ἁγίων καὶ θεοφόρων πατέρων. Sequuntur canonum tituli et capita, quo loco etiam leguntur haec; τοῦ μεγάλου Βασιλείου ἐπιστολαὶ πρὸς τὸν ἅγιον Ἀμφιλόχιον ἐπίσκοπον Ἰκονίου τῆς μητροπόλεως Φρυγίας πε καὶ ἐπιστολαὶ κανονικαὶ πρὸς διαφόρους· Γρηγορίου Νύσσης ἐπιστολὴ πρὸς Λητόϊον ἐπίσκοπον μελιτηνῆς κεφάλαια ὀκτώ· Τιμοθέου Ἀλεξαν-

[1] Hoc monasterium situm est in monte Divrovuni in provincia Delvini Epiri, e regione Corcyrae.

δρείας ἀποκρίσεις κανονικαί· Θεοφίλου ἀρχιεπισκόπου Ἀλεξανδρείας ἐπιστολὴ κανονικὴ πρὸς Δόμνον· Γενναδίου πατριάρχου Κωνσταντινουπόλεως ἐγκύκλιος ἐπιστολή· Πρὸς τοὺς μητροπολίτας ἐπιστολὴ τοῦ μεγάλου Βασιλείου· Τοῦ μακαριωτάτου Ἐπιφανίου ἐπισκόπου Κύπρου διήγησις σύντομος περὶ τῶν ἐκτεθεισῶν αἱρέσεων ἤτοι δογμάτων. In fine leguntur, Τέλος καὶ τῷ θεῷ δόξα, deinde succedit catalogus XXII paginas occupans, et post eum adnotatio haec; Μετὰ τὴν τελείωσιν τῶν κανόνων τῶν ἁγίων ἀποστόλων καὶ τῶν οἰκουμενικῶν καὶ τοπικῶν συνόδων καί τῶν ἐπιστολῶν καὶ κανόνων τῶν θείων διδασκάλων τοῦ τε μεγάλου Ἀθανασίου καὶ τοῦ μεγάλου Βασιλείου καὶ Τιμοθέου Ἀλεξανδρείας καὶ τῶν λοιπῶν, ἄρχονται κεφάλαια διάφορα ἀπό τε τῆς παλαιᾶς καὶ νέας γραφῆς καὶ διαφόρων πατριαρχῶν καὶ βασιλέων· τουτέστιν Ἰουστινιανοῦ τοῦ μεγάλου καὶ Λέοντος τοῦ σοφοῦ καὶ ἑτέρων ὀρθοδόξων βασιλέων· ἔτι δὲ καὶ τὰς τάξεις καὶ πρωτοκαθεδρίας τῶν πατριαρχῶν καὶ οἱ θρόνοι τῶν μητροπολιτῶν καὶ ἐπισκόπων ὅλης τῆς οἰκουμένης. Καὶ ταῦτα πάντα κατεστρώθησαν κατὰ τὴν αὐτῶν τάξιν καὶ διόρθωσιν ἐκεῖσε. Postea positi sunt canones conciliorum[1] A, B, Γ, Δ, E, ΣΤ, Z, cum commentariis Zonarae, deinde sequitur Ἐπιστολὴ Ταρασίου τοῦ ἁγιωτάτου πατριάρχου Κωνσταντινουπόλεως νέας Ῥώμης πρὸς Ἁδριανὸν τὸν πάπαν τῆς πρεσβυτέρας Ῥώμης περὶ τοῦ μὴ ἐπὶ χρήμασι γίνεσθαι τὰς χειροτονίας, succedunt canones concilii Constantinopolitani et constitutiones aliarum synodorum cum Zonarae commentariis, postea reperiuntur haec; ἐπιστολὴ Κυρίλλου ἐπισκόπου Ἀλεξανδρείας πρὸς τὴν ἐν Ἀφρικῇ σύνοδον (S. III 615)[2], ἐπιστολὴ Ἀττικοῦ πατριάρχου Κωνσταντινουπόλεως (S. ib. 616), Σύμβολον τῆς πίστεως τῆς ἐν Νικαίᾳ Συνόδου (S. 617), Ἐπιστολὴ τῆς ἐν Ἀφρικῇ Συνόδου πρὸς Κελεστῖνον πάπαν Ῥώμης (S. 618), Ἐκ τῶν πραχθέντων ὑπομνημάτων ἐν Κωνσταντινουπόλει περὶ Ἀγαπίου καὶ Βαγαδίου κλπ. (S. 625), Ἐπιστολὴ τοῦ Μακαρίου Διονυσίου ἀρχιεπισκόπου Ἀλεξανδρείας cum comm. Zonarae (S. IV. 1 sequ.), τοῦ Ἁγίου Πέτρου Ἀλεξανδρείας (S. ib. 14), Ἐπιστολὴ κανονικὴ ἁγ. Γρηγορίου cum

[1] Secundum ordinem syntagmatis Rhalli et Potli II pag. 165-555.
[2] Vide infra siglorum explicationem.

comm. Zonarae (S. 45), Ἐπιστολαὶ ἁγίου Ἀθανασίου (S. 67-87), Βασιλείου τοῦ ἀρχιεπισκόπου Καισαρείας ἐπιστολαὶ κανονικαὶ cum comm. Zonarae (S. 88-291), Γρηγορίου Νύσσης κανονικὴ ἐπιστολὴ cum comm. Zonarae (S. 295), Ἀποκρίσεις κανονικαὶ Τιμοθέου cum sch. (S. 331) Θεοφίλου Ἀλεξανδρείας προσφώνησις (S. 342), τοῦ αὐτοῦ ὑπομνηστικὸν (S. 343), τοῦ αὐτοῦ ἀφήγησις περὶ τῶν λεγομένων καθαρῶν (S. 351), τοῦ αὐτοῦ Ἀγάθωνι cum comm. (S. 352), τοῦ αὐτοῦ Μηνᾶ cum. sch. (S. 354), Κυρίλλου ἐπιστολὴ κανονικὴ cum sch. (S. 355), τοῦ αὐτοῦ πρὸς κατὰ Λιβύην καὶ Πεντάπολιν ἐπισκόπους cum sch. (S. 361), Γρηγορίου τοῦ θεολόγου ἐκ τῶν ἐμμέτρων cum sch. (S. 363), τοῦ ἁγίου Ἀμφιλοχίου ἴαμβοι (S. 365), Ἐγκύκλιος ἐπιστολὴ Γενναδίου (S. 368). Deinde sequitur; Ἐκ τοῦ Ἰουστινιανοῦ... βασιλεὺς περὶ γάμου [1], incipit εὕρομεν τοῖς ἀρχαίοις περιέχεσθαι νόμοις. Postea τοῦ μακαρίου Ἐπιφανίου ἐπισκόπου Κύπρου διήγησις συντόμως τῶν ἐκτεθεισῶν αἱρέσεων ἤτοι δογμάτων κ. λ. π. (dividitur in cap. πγ), Τιμοθέου πρεσβυτέρου τῆς μεγάλης ἐκκλησίας Κωνσταντινουπόλεως Ἰωάννῃ πρεσβυτέρῳ τῆς αὐτῆς ἁγιωτάτης τοῦ θεοῦ καθολικῆς καὶ ἀποστολικῆς ἐκκλησίας περὶ διαφορᾶς τῶν προσερχομένων τῇ εὐαγεστάτῃ ἡμῶν πίστει, Ἐκ τοῦ εὐχολογίου τοῦ πατριαρχικοῦ καὶ ὅπως χρὴ δέχεσθαι τοὺς ἀπὸ αἱρέσεων προσερχομένους ἐν τῇ ἁγίᾳ τοῦ θεοῦ καθολικῇ καὶ ἀποστολικῇ ἐκκλησίᾳ. Sequuntur varia cap. νόμος ἐκ τοῦ α βιβλίου τῶν Διγέστων τίτλος ε, περὶ δικαίου θείου καὶ ἀνθρωπίνου τοῦ η τίτλου τοῦ α βιβλίου, περὶ νόμων φυσικοῦ ἐθνικοῦ καὶ πολιτικοῦ τιτλ. δ τῶν διγέστων. Postea Κεφάλαια κατ' ἐκλογὴν τοῦ Μωσαϊκοῦ, (in initio index capitulorum α-μδ positus est), Ἕτερα κεφάλαια διάφορα ἐκ τῆς παλαιᾶς διαθήκης, Περὶ τῶν προνομίων τοῦ Ἁγ. θρόνου Κωνσταντινουπόλεως, Κανόνες ε τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Χαλκηδόνι συγκροτηθείσης ἁγίας συνόδου. Sequitur Ecloga Leonis et Constantini. Praecedit inscriptio, haec; Ἐκλογὴ τῶν (νόμων) ἐν συντόμῳ γενομένη παρὰ Λέοντος καὶ Κωνσταντίνου τῶν σοφῶν καὶ φιλευσεβῶν βασιλέων, ἀπὸ τῶν ἰνστιτούτων τῶν διγέστων καὶ τοῦ κώ-

[1] Est novella Basilii Macedonis, quam Potli et Rhalli publici juris fecerunt (S. V. 253), quae tamen ex Prochiro hausta est.

δικος τῶν νεαρῶν τοῦ μεγάλου ἰουστινιανοῦ διατάξεων, καὶ ἐπιδιόρθωσις εἰς τὸ φιλανθρωπότερον, ἐκδοθεῖσα κατὰ μῆνα μάρτιον ἰνδ. θ ἔτος ἀπὸ κτίσεως κόσμου ϛσλδ. Ἡ ἀρχὴ τῶν κεφαλαίων τῆς νεαρᾶς νομοθεσίας· succedit index titulorum et capitum infeliciter truncatus. Post haec Δωροθέου ἐπισκόπου Τύρου ἀρχαίου ἀνδρὸς πνευματοφόρου et collectio capitulorum α-πγ cum inscriptione, Ταῦτα τῶν νεαρῶν μετὰ τοὺς κανόνας τῶν ἱερῶν συνόδων, νεαρῶν τὰ κεφάλαια α-πγ. Postea reperiuntur· Συναγωγὴ νεαρῶν διατάξεων XXVIII, quarum XXV clar. vir Gustavus Heimbachius edidit (Ἀνέκδοτα pag. 145).Sequuntur Novellœ variæ imperatoris Justiniani (fol. 331-361), postea. 1) Φωτίου Πατριάρχου περὶ αἱρετικῶν ὅπως μὴ συγκοινωνεῖν οἱ ὀρθόδοξοι μετ᾽ αὐτῶν καὶ περὶ ἄλλων κεφαλαίων, 2) Κυρίλλου ἀρχιεπισκόπου Ἀλεξανδρείας πρὸς Μάξιμον διάκονον, 3) τοῦ αὐτοῦ πρὸς Γεννάδιον πρεσβύτερον καὶ ἀρχιμανδρίτην, 4) Σισινίου Κωνσταντινουπόλεως ἐπιστολὴ πρὸς ἀθεσμογαμίας, 5) τοῦ μακαριωτάτου Λέοντος τῆς πρεσβυτέρας Ῥώμης τοῦ μεγάλου ἐπιστολὴ δογματικὴ πρὸς εὐγενέστατον Φλαβιανὸν, 6) τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Νικηφόρου πατριάρχου Κωνσταντινουπόλεως ἐπιστολὴ πρὸς τὸν μακαριώτατον πάπαν Ῥώμης Λέοντα περὶ τῆς ὀρθοδόξου πίστεως, 7) τοῦ αὐτοῦ ἁγίου πατρὸς ἡμῶν Νικηφόρου Κωνσταντινουπόλεως κανόνες, incipit « τὰς ἐκκλησίας τὰς ὑπὸ αἱρετικῶν, desinit βρώσεως. Postea succedunt Τάξις πρωτοκαθεδρίας τῶν ὀρθοδόξων πατριαρχῶν cum tabula, Κεφάλαια ἐκ τῆς παλαιᾶς γραφῆς χρονογραφικά, his adjicitur chronographia regum Persarum et romanorum, deinde Augustarum a Theodora et Helena usque ad Eudociam Basilii, et in fine ὅσοι βασιλεῖς τῶν I φυλῶν ἐκ τοῦ ἰσραὴλ, ἀπὸ τῶν χρόνων Ἱεροβοὰμ υἱῷ Σολομῶντος βασιλέως καὶ ἕως τῆς αἰχμαλωσίας τῶν I φυλῶν εἰς Ἀσσυρίους Ἰούδα. Deinde καὶ ὅσοι ἐγένοντο ἀρχιερεῖς ἐν τῷ ἰσραήλ, μετὰ τὴν ἀνάληψιν τοῦ κυρίου ἡμῶν ἰησοῦ χριστοῦ, τῶν Ἱεροσολύμων οἱ ἐπίσκοποι, ὅσοι μετὰ τὸ χριστιανίσαι τοὺς βασιλεῖς ἐπίσκοποι, οἱ ἐν Ῥώμῃ ἐπίσκοποι, ὅσοι μετὰ τὸ χριστιανίσαι τοὺς βασιλεῖς, ὅσοι ἐπεσκόπησαν... ἀπὸ τῶν ἁγίων ἀποστόλων, denique οὗτοι εἰσὶν ἀπὸ τῆς τρίτης συνόδου τῆς ἐν Ἐφέσῳ ἕως τῆς λῃστρικῆς.

Talis est codex, ex quo Eclogam edere institui, quae editio

etsi ad historiam juris byzantini pauca fortasse conferet, tamen propter quasdam differentias codicis adhuc ignoti cum appendice spero eam prorsus inutilem et supervacaneam non fore. Scriptoris culpa et errore codex habet lacunas nonnullas et scripturæ vitia; haec ego corrigenda putavi. In notis varietatem lectionis ex editione viri celeberrimi Zachariaei conjeci et fontem cujusque loci indicavi.

Dabam Athenis Kal. Septembribus MDCCCLXXXVIII.

INDEX CAPITUM ET TITULORUM

ECLOGÆ

APPENDICIS

LEGIS MOSAICÆ

EXPLICATIO SIGLORUM

A:	**significat**	**Codex Atheniensis**
Z:	**»**	**Ecloga editionis Zachariæi**
ZA:	**»**	**Appendix editionis Zachariæi**
(S. VI. 207)	**»**	**Syntagma Potli et Rhalli, tomus et pagina.**

CORRIGENDA

P. 28 lin. 6 Lege ἀποδείξῃ
P. 39 lin. 4 Lege λωρίκιον
P. 45 lin. 4 Lege νομισμάτων
P. 48 lin. 9 Lege συγχωρείσθω
P. 85 lin. 8 Lege χλαπῇ

ΕΚΛΟΓΗ

ΤΩΝ ΝΟΜΩΝ ΕΝ ΣΥΝΤΟΜΩΙ ΓΕΝΟΜΕΝΗ

ΠΑΡΑ

ΛΕΟΝΤΟΣ ΚΑΙ ΚΩΝΣΤΑΝΤΙΝΟΥ

τῶν σοφῶν καὶ φιλευσεβῶν[1] βασιλέων

ἀπὸ τῶν Ἰνστιτούτων, τῶν Διγέστων, τοῦ Κώδικος, τῶν Νεαρῶν τοῦ μεγάλου ΙΟΥΣΤΙΝΙΑΝΟΥ διατάξεων,

καὶ ἐπιδιόρθωσις εἰς τὸ φιλανθρωπότερον ἐκτεθεῖσα ἐν μηνὶ μαρτίῳ ἰνδ. θ΄ ἔτους ἀπὸ κτίσεως κόσμου ϛσλδ[2]

Ἐν ὀνόματι τοῦ πατρὸς καὶ τοῦ υἱοῦ καὶ τοῦ ἁγίου πνεύματος Λέων καὶ Κωνσταντῖνος πιστοὶ[3] βασιλεῖς ρωμαίων[4].

Ὁ δεσπότης καὶ ποιητὴς τῶν ἁπάντων θεὸς ἡμῶν, ὁ κτίσας τὸν ἄνθρωπον καὶ τιμήσας αὐτὸν τῇ αὐτεξουσιότητι, νόμον αὐτῷ κατὰ τὸ προφητικῶς εἰρημένον[5] δεδωκὼς εἰς βοήθειαν, πάντα αὐτῷ τά τε πρακτέα καὶ ἀπευκτέα δι᾽ αὐτοῦ κατέστησε γνώριμα, καὶ τὰ μὲν αἱρεῖσθαι ὡς σωτηρίας ὄντα πρόξενα, τὰ δὲ ἀπωθεῖσθαι ὡς κολάσεως αἴτια· καὶ οὐδεὶς τῶν αὐτοῦ[6] φυλασσόντων ἤ, ὅπερ ἀπέστω, ἀθετούντων δικαιώματα τῆς καταλλήλου τῶν ὁπωσοῦν πραττομένων διαψευσθήσεται ἀντιδόσεως· θεὸς γὰρ ὁ προεπαγγειλάμενος τὰ ἀμφότερα, οὗ τῶν λόγων ἡ

[1] Z: addit ἡμῶν. [2] Chronologia codices Mss, ut notum, multum variant· banc ob causam textum codicis Atheniensis intactum relinquere præferendum putavi. Zachariæus lectionem ϛσμη΄ recepit. Vide notam 12 Eclog. ed. Zachar. [3] Z: non habet. [4] Z: non habet. [5] Z: κατὰ τὸ προφητικόν.— Esaias 8, 20. [6] Z: τὰ αὐτά.

δύναμις κεκτημένη τὸ ἀμετάθετον καὶ τῇ ἑκάστου ἐργασίᾳ ἀντιμετροῦσα τὰ ἄξια, κατὰ τὸ εὐαγγελικῶς εἰρημένον[6*], οὐ παρελεύσεται.

Ἐπεὶ οὖν τὸ κράτος τῆς βασιλείας ἐγχειρίσας ἡμῖν, ὡς ηὐδόκησε, δεῖγμα τοῦτο τῆς ἐν φόβῳ πρὸς αὐτὸν ἀγαπήσεως ἡμῶν εἰσεποιήσατο, κατὰ πέτρον τὴν κορυφαιοτάτην τῶν ἀποστόλων ἀκρότητα, ποιμαίνειν ἡμᾶς κελεύσας τὸ πιστότατον ποίμνιον, οὐδὲν αὐτῷ πρῶτον[7] ἢ μεῖζον τῆς ἐν κρίματι καὶ δικαιοσύνῃ τῶν ὑπ' αὐτοῦ καταπιστευθέντων ἡμῖν κυβερνήσεως εἰς ἀντίδοσιν εἶναι γινώσκομεν, ὡς ἐντεῦθεν πάσης ἀδικίας λύεσθαι σύνδεσμον καὶ βιαίως στραγγαλιὰς συναλλαγμάτων διαλύεσθαι[8], καὶ τὰς τῶν πλημμελούντων ὁρμὰς ἀνακόπτεσθαι, καὶ οὕτως ταῖς κατ' ἐχθρῶν νίκαις ὑπὸ τῆς αὐτοῦ παντοδυνάμου χειρὸς στεφανοῦσθαι ἡμᾶς τοῦ περικειμένου διαδήματος, πολυτελέστερόν τε καὶ τιμιώτερον, εἰρηναῖόν τε ἡμῖν καθίστασθαι τὸ βασίλειον καὶ εὐσταθὲς τὸ πολίτευμα.

Ὅθεν ταῖς τοιαύταις μερίμναις ἐνασχολούμενοι, καὶ πρὸς τὴν τῶν ἀρεσκόντων θεῷ καὶ τῷ κοινῷ συμφερόντων εὕρεσιν, ἀκοίμητον τὸν νοῦν καταστήσαντες, τήν τε δικαιοσύνην πάντων τῶν ἐπιγείων προτιμήσαντες, ὡς πρόξενον τῶν οὐρανίων ὑπάρχουσαν καὶ τομωτέραν ξίφους παντὸς τῇ τοῦ ἐπ' αὐτῇ θεραπευομένου δυνάμει κατὰ τῶν πολεμίων τυγχάνουσαν, ἐν πολλαῖς βίβλοις τὰ ὑπὸ τῶν προβεβασιλευκότων νενομοθετημένα γεγράφθαι[9] γινώσκοντες, καὶ τοῖς μὲν δυσδιάγνωστον τὸν ἐν αὐτοῖς περιεχόμενον νοῦν, τοῖς δὲ καὶ παντελῶς ἀδιάγνωστον, καὶ μάλιστα τοῖς ἔξω τῆς θεοφυλάκτου ταύτης καὶ βασιλίδος ἡμῶν πόλεως, εἰδότες τυγχάνοντα, μετακαλεσάμενοι τούς τε ἐνδοξωτάτους ἡμῶν πατρικίους τόν τε[10] ἐνδοξώτατον κοιαίστωρα καὶ τοὺς ἐνδοξωτάτους ὑπάτους καὶ ἀντιγραφεῖς[11] καὶ λοιπούς, τὸν τοῦ θεοῦ

6* 1 Petri 1, 17. 7 Z: πρότερον.— 1 Petri 5, 2. 8 Z: βιαίων συναλλαγμάτων διαλύεσθαι στραγκαλίας. 9 Z: ἐγγεγράφθαι. 10 Z: non habet. 11 Z: duo verba καὶ ἀντιγραφεῖς non habet.

φόβον ἔχοντας, πάσας τὰς αὐτῶν[12] βίβλους συναθροισθῆναι παρ' ἡμῖν ἐκελεύσαμεν, καὶ πάσας μετ' ἐπιμελοῦς ἐπισκέψεως ἀνακρίναντες, διά τε τῶν ἐν ταῖς αὐταῖς βίβλοις εὐθέτως ἐμφερομένων διά τε τῶν παρ' ἡμῖν[13] νεαρῶς θεσπισθέντων, τῶν[14] ἐπισυχναζόντων πραγμάτων καὶ τῶν[15] συναλλαγμάτων τὰς κρίσεις[16] καὶ τὰς κατ' ἀλλήλους[17] τῶν ἐγκλημάτων ποινάς, ἐν τῇ δε τῇ βίβλῳ φανερώτερόν τε καὶ λεπτότερον[18] ἀναληφθῆναι, ἁρμόδιον ἡγησάμεθα πρὸς εὐσύνοπτον τῆς τῶν τοιούτων εὐσεβῶν νόμων δυνάμεως εἴδησιν, καὶ τὴν ἐν εὐκρινείᾳ τῶν πραγμάτων εὐλύτωσιν, καὶ τὴν δικαίαν τῶν πλημμελούντων ἐπεξέλευσιν, καὶ τὴν τῶν ἐπιρρεπῶς πρὸς τὸ πλημμελεῖν διακειμένων ἀναστολὴν καὶ διόρθωσιν.

Τοὺς δὲ μετιέναι τεταγμένους τὰ νόμιμα, πάντων τῶν ἀνθρωπίνων παθῶν παραινοῦμεν ἅμα καὶ παρεγγυῶμεν ἀπέχεσθαι, καὶ ἀπὸ ὑγιοῦς διανοίας προφέρειν[19] τῆς ἀληθοῦς δικαιοσύνης τὰ κρίματα, καὶ μήτε πένητας καταφρονεῖν, μήτε δυνάστην ἀδικοῦντα ἐᾶν ἀνεξέλεγκτον, μήτε μὴν σχήματι μὲν καὶ λόγῳ τὴν δικαιοσύνην ὑπερθαυμάζειν καὶ τὴν ἰσότητα, ἔργῳ δὲ τὸ ἄδικον καὶ πλεονεκτικὸν προτιμᾶν ὡς ὠφέλιμον, ἀλλὰ δύο κρινομένων παρ' αὐτοῖς, τοῦ τε πλεονεκτοῦντος καὶ τοῦ τὸ ἔλαττον ἔχοντος, εἰς τὸ πρὸς ἀλλήλους ἐπανισοῦν[20] αὐτοὺς ἵστασθαι, καὶ τοσοῦτον ἀφαιρεῖν τοῦ ὑπερέχοντος, ὅσον ἐλαττούμενον εὕρωσι τηνικαῦτα τὸν ἀδικούμενον· οἱ γὰρ τὴν ἀληθῆ δικαιοσύνην ταῖς ἑαυτῶν ψυχαῖς προεναποκειμένην μὴ ἔχοντες, ἀλλ' ἢ χρήμασι διεφθαρμένοι ἢ φιλίᾳ χαριζόμενοι, ἢ ἔχθραν ἀμυνόμενοι, ἢ δυναστείαν[21] δυσωπούμενοι, κρῖμα κατευθύνειν οὐ δύνανται, δεικνύντες ἐφ' ἑαυτοῖς[22] τὸν ψαλμῳδὸν ἀληθεύοντα· εἰ ἀληθῶς ἄρα δικαιοσύνην λαλεῖτε, εὐθείας κρί-

[12] A: αὐτάς. [13] Z: ἡμῶν. [14] Z: non habet. [15] Z: non habet. [16] A: τῆς κρίσεως. [17] Z: καταλλήλους. [18] Z: λεπτοτέρως. [19] A: προσφέρειν. [20] Z: ἴσον. [21] Z: δυναστείᾳ. [22] Z: ἑαυτῶν.— Psalm. 57, 2. 3.

νατε τὰς κρίσεις[23] οἱ[24] υἱοὶ τῶν ἀνθρώπων· καὶ γὰρ ἐν καρδίᾳ ἀνομίαν ἐργάζεσθε ἐν τῇ γῇ, ἀδικίαν αἱ χεῖρες ὑμῶν συμπλέκουσιν· ὥσπερ καὶ ὁ σοφὸς Σολομὼν τὸ περὶ τὴν κρίσιν ἄνισον τῇ τῶν σταθμίων προσηγορίᾳ παρωμοιακῶς[25] αἰνιττόμενος ἔφησε· στάθμιον μέγα καὶ μικρόν, βδελυκτὰ παρὰ κυρίῳ.

Καὶ ταῦτα τοῖς μὲν νοοῦσι τὸ δίκαιον, παρατρέπουσι δὲ τὴν ἀλήθειαν, παραινετικῶς[26] παρ᾽ἡμῶν διατέτακται· οἷς δὲ τοῦτο, διὰ τὸ περὶ τὴν φρόνησιν ἐλλιπές, ὑπάρχει δυσθήρατον καὶ διανεῖμαι τὸ ἴσον ἑκάστῳ[27] παντελῶς αὐτοῖς τυγχάνει ἀνέφικτον, οὗτοι[28] κατὰ τὸ ὑπὸ τοῦ[29] ἰησοῦ τοῦ σειρὰχ λεγόμενον[30] μήτε παρὰ κυρίου ἡγεμονίαν ζητείτωσαν, μήτε παρὰ βασιλέως καθέδραν δόξης αἰτείτωσαν, μήτε γίνεσθαι[31] κριταὶ προαιρείσθωσαν, ἀδικίας οὐδαμῶς ἐξαίρειν ἰσχύοντες· οἱ δὲ νοῦ καὶ σωφρονήσεως[32] μέτοχοι, καὶ δικαιοσύνης ἀληθοῦς[33] ἐναργεῖς[34] ἐπιστήμονες, ὀρθὰ περὶ τὰς κρίσεις βλεπέτωσαν, οὕτω γὰρ καὶ ὁ κύριος ἡμῶν ἰησοῦς χριστός, ἡ τοῦ θεοῦ δύναμις καὶ σοφία, περισσοτέρως αὐτοῖς τὴν τοῦ δικαίου γνῶσιν χαρίζεται καὶ ἀνακαλύπτει τῶν πραγμάτων τὰ δυσεξεύρητα· ὃς καὶ τὸν Σολομῶντα ἐκζητήσαντα τὸ δίκαιον, ἐν ἀληθείᾳ ἐσόφισε καὶ τὴν περὶ τοῦ παιδίου κρίσιν ὀρθῶς καὶ εὐθυβόλως ταῖς γυναιξὶν[35] ἐχαρίσατο· ἐπειδὴ γὰρ ἀμάρτυρον ἦν τὰ παρ᾽ ἐκείναις[36] λεγόμενα, ἐπὶ τὴν φύσιν χωρῆσαι τοῦτον ἐκέλευσε καὶ δι᾽ αὐτῆς εὑρεῖν τὸ ἀγνοούμενον παρεσκεύασεν· ὅτε, ἡ μὲν ἀλλοτρία ἀπαθῶς τὸ περὶ τῆς ἀναιρέσεως τοῦ παιδὸς κατεδέξατο πρόσταγμα, ἡ δ᾽ ἀληθὴς μήτηρ οὐδὲ τὴν ἀκοὴν ὑποσχεῖν τῷ προστάγματι διὰ τὴν φυσικὴν φιλοστοργίαν ἠνέσχετο.

Ταῦτα νοείτωσαν, ταῦτα φρονείτωσαν[37], ἐν τούτοις ἀνα-

[23] Verba τὰς κρίσεις in A desunt. [24] Z: non habet. [25] A: παροιμιακῶς.—Prov. 11, 1. 20, 10. [26] Z: addit ἅμα καὶ προμαρτυρικῶς. [27] Z: ἑκάστῳ τὸ ἴδιον. [28] A: addit τό. [29] Z: non habet. [30] Sirach 7, 4. [31] A: γενέσθαι. [32] Z: φρονήσεως. [33] apud Z: verbum ἀληθοῦς deest. [34] A: ἐνεργεῖν. [35] Z: addit ἐξενεγκεῖν.—III Reg. 3,16 sqq. [36] Z: ἑκατέρας. [37] Z: verba ταῦτα φρονείτωσαν non habet.

στρεφέσθωσαν, οἱ παρὰ τῆς ἡμετέρας εὐσεβείας κρίνειν τεταγμένοι τὰ πράγματα, καὶ τῶν εὐσεβῶν ἡμῶν νόμων ἐγκεχειρισμένοι τὰ δίκαια στάθμια· ἐν τούτοις γὰρ τὸν τὰ σκῆπτρα τῆς βασιλείας[38] ἡμῖν ἐγχειρίσαντα θεὸν θεραπεύειν σπουδάζομεν· ἐν τούτοις τοῖς ὅπλοις τῇ δυνάμει αὐτοῦ εὐσθενῶς ἀντιτάττεσθαι τοῖς πολεμίοις βουλόμεθα· ἐν τούτοις τὸ χριστοσημείωτον καὶ παρὰ τῆς αὐτοῦ ἐξουσίας ὑποτεταγμένον τῇ ἡμετέρᾳ πρᾳότητι ποίμνιον, αὔξειν ἐπ᾽ ἀγαθοῖς καὶ προκόπτειν σπουδάζομεν[39]· ἐν τούτοις ἀποκαθίστασθαι ἡμῖν τὴν ἀρχαίαν τοῦ πολιτεύματος δικαιοδοσίαν ἐλπίζομεν.

Τοῦ κυρίου[40] ἡμῶν Ἰησοῦ χριστοῦ εἰρηκότος· μὴ κρίνετε κατ᾽ ὄψιν, ἀλλὰ τὴν δικαίαν κρίσιν κρίνατε, πάσης δωροληψίας[41] ἀπέχεσθαι δίκαιον· γέγραπται γάρ· οὐαὶ οἱ δικαιοῦντες τὸν ἀσεβῆ ἕνεκεν[42] δώρων καὶ ὁδὸν[43] ταπεινῶν ἐκκλίνοντες[44], τὸ δίκαιον τοῦ δικαίου αἴροντες ἀπ᾽ αὐτοῦ[45]· ὧν ἡ ῥίζα ὡς χοῦς ἔσται καὶ τὸ ἄνθος αὐτῶν ὡς κονιορτὸς ἀναβήσεται[46], ἀνθ᾽ ὧν τὸν νόμον κυρίου πληροῦν οὐκ ἐθέλησαν· ξένια γὰρ καὶ δῶρα ἐκτυφλοῖ σοφῶν ὀφθαλμούς.

Ὅθεν τῆς τοιαύτης αἰσχροκερδείας ἀναστολὴν παντελῶς ποιεῖσθαι σπουδάζοντες, ἐκ τοῦ εὐσεβοῦς ἡμῶν σακκελλίου ὡρίσαμεν τῷ τε ἐνδοξωτάτῳ κοιαίστωρι, τοῖς ἀντιγραφεῦσι καὶ πᾶσι τοῖς ἐπὶ τοῖς δικαστικοῖς κεφαλαίοις καθυπουργοῦσι τοὺς μισθοὺς παρέχεσθαι, πρὸς τὸ ἐξ οἱουδήποτε[47] παρ᾽ αὐτοῖς κρινομένου μηδὲν αὐτοὺς λαμβάνειν τὸ σύνολον, ἵνα μὴ τὸ ὑπὸ τοῦ προφήτου λεγόμενον καὶ εἰς ἡμᾶς πληρωθῇ· ἀπέδοντο[48] τῷ ἀργυρίῳ τὸ δίκαιον[49] καὶ μέλλομεν ἐντεῦθεν θεϊκῆς τυγχάνειν ἀγανακτήσεως ὡς[50] τῶν ἐντολῶν αὐτοῦ παραβάται γενόμενοι.

---

[38] Z: non habet. [39] Z: πιστεύομεν. [40] Z: addit καὶ σωτῆρος. — Joh. 7, 24. [41] A: δοσοληψίας. [42] Z: ἕνεκα. [43] A: ὁδῶν. [44] Amos B 7. [45] A: αὐτῶν. [46] Esaïas E 23 24. [47] Z: addit προσώπου. [48] A: ἀπέδου. [49] Amos B 6. [50] Z: non habet.

ΤΙΤΛΟΣ Α΄.

Περὶ συστάσεως μνηστείας καὶ λύσεως αὐτῆς.

α΄. Συνίσταται μνηστεία χριστιανῶν ἐπὶ τοῖς ἐν πρώτῃ ἡλικίᾳ ἀπὸ ἑπταετοῦς χρόνου καὶ τὴν ἄνω[1] ἔκ τε τῆς τῶν μνηστευομένων ἀρεσκείας καὶ τῆς ἐκ γονέων αὐτῶν καὶ συγγενῶν συναινέσεως[2], ἐὰν οἱ συναλλάσσοντες νομίμως συναλλάσσωσι καὶ μὴ ὦσιν ἐκ τῶν κεκωλυμένων· τουτέστι δι' ἀρραβώνων ἤγουν ὑποβόλων ἢ δι' ἐγγράφων.

Εἰ δὲ δόξει τὸν διδόντα τὸν ἀρραβῶνα διαστρέψαι καὶ μὴ συναλλάξαι, ἀπόλλειν αὐτὸν τὸν ἀρραβῶνα· εἰ δὲ τὸ μέρος τῆς κόρης θελήσει διαστρέψαι, παρεχέτω[3] διπλάσιον[4] τὸν ἀρραβῶνα, τουτέστιν αὐτὸν τὸν ἀρραβῶνα καὶ ἄλλο τοσοῦτον[5].

β΄. Εἰ δὲ ἐγγράφως στοιχήσει τις καὶ δόξει διαστρέψαι, κατὰ τὸ ἔγγραφον αὐτοῦ ἀπολογήσεται τῇ κόρῃ· εἰ δὲ τὸ μέρος τῆς κόρης χωρὶς αἰτίας νόμῳ γνωριζομένης δοκιμάσει διαστρέψαι, τὸ αὐτὸ μέτρον, ὅπερ ἐκεῖνος ἐγγράφως ὡμολόγησε, παρεχέτω τῷ μνηστευσαμένῳ μετὰ καὶ τῆς παρ' αὐτοῦ γενομένης ὁμολογίας καὶ ἀπαλλασσέσθω[6] [7].

γ΄. Εἰ δέ τις ἁρμόσηται κόρην καὶ ἴσως διὰ μῖσος ἢ τρόπον τὸν[8] οἱονδήποτε ὑπερτίθεται ποιῆσαι τὸν γάμον, ἕως δύο ἐτῶν ὑποκεῖσθαι τὴν κόρην ἐκδέχεσθαι αὐτόν, καὶ μετὰ τοῦτο ἵνα διαμαρτύρηται αὐτῷ[9] τὸ μέρος τῆς κόρης τοῦ ποιῆσαι τὸν γάμον· καὶ εἰ μὲν καταδέξεται,[10] καλῶς εἶναι[11]· ἐπείτοιγε ἄδειαν

[1] Z: τῇ ἄνω. [2] Z: ἐκ γονέων καὶ συγγενῶν αὐτῶν συναινέσεως. [3] A: παρεχέτω non habet. [4] Z: διπλοῦν. [5] C: 1. 5 (5. 1.). Bas. 1,3 (28. 2), Proch. II a, Proch. a. I, 36, Ecl. priv. a. I 1, Ecl ad Proch. m. I 1, Epanag. XI α, Harm. IV 2, 1. Epitom. XX κη. [6] Z: ἀπαλλασσέτω. [7] Proch. a. I, 36. Ecl. ad Proch. m. I, 2. [8] Z: τρόπον οἱονδήποτε. [9] A: αὐτό. [10] A: καταδέξονται. [11] A: καλῶς εἶναι omittit.

ἔχειν τὴν κόρην[12] ζευχθῆναι, ᾧτινι βούλεται, ἐγκρατοῦσαν καὶ ἅπερ ἔλαβεν ἐκ τοῦ μνηστευθέντος αὐτήν[13].

δ'. Εἰ δὲ εἰσὶ παῖδες μὴ ἔχοντες γονεῖς, εἴτε παλικάριον, εἴτε κοράσιον[14], καὶ ἐξ ὑποβολῆς τινων ἐποίησαν μνηστείαν καὶ ἐσύστερον[15] μετενόησαν, ἕως πέντε καὶ δεκάτου χρόνου ἄδειαν ἔχειν ἀναλῦσαι τὸ συνάλλαγμα ἀζημίως, ὡς ὀρφανῶν αὐτῶν ὄντων καὶ μὴ γινωσκόντων τὰ συμφέροντα αὐτοῖς. Εἰ δὲ εἰς ἡλικίαν ἔλθωσιν, ὡς φρόνησιν ἔχοντες, ἄν τι ποιήσωσιν, οὐκ ἔχουσιν ἄδειαν τοῦ λοιποῦ διαστρέψαι[16].

ΤΙΤΛΟΣ Β'.

Περὶ συστάσεως γάμων χριστιανῶν[1].

α'. Συνίσταται γάμος χριστιανῶν, εἴτε ἐγγράφως εἴτε ἀγράφως, μεταξὺ ἀνδρὸς καὶ γυναικός, τοῦ εἶναι[2] τὴν ἡλικίαν πρὸς συνάφειαν ἡρμοσμένην, τοῦ μὲν ἀνδρὸς ἀπὸ πέντε καὶ δεκαετοῦς χρόνου, τῆς δὲ γυναικὸς ἀπὸ τρεῖς καὶ δεκαετοῦς χρόνου, ἀμφοτέρων θελόντων μετὰ τῆς τῶν γονέων συναινέσεως[3].

β'. Κεκώλυνται δὲ, ὅσοι ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος ἀλλήλοις προσηνώθησαν, τουτέστιν ὁ ἀνάδοχος ἐκ τῆς ἰδίας θυγατρὸς καὶ τῆς αὐτῆς μητρὸς, ὡσαύτως δὲ καὶ ὁ αὐτοῦ υἱὸς ἐκ τῆς τοιαύτης θυγατρὸς καὶ τῆς αὐτῆς μητρὸς[4], καὶ ὅσοι ἐξ αἵματος συγγενείας ἀλλήλοις[5] γνωρίζονται, τουτέ-

[12] Z: ἔκτοτε ζευχθῆναι. [13] C. 2. (5. 1) Bas. 16 (28. 1) Proch. a. I, 37 Ecl. ad Proch. m. I, 3. Harm. IV 1, 17. [14] Z: εἴτε ἄρρεν εἴτε θῆλυ. [15] Z: ὕστερον. [16] Proch. a. I 38, Ecl. ad Proch. m. I 6.

[1] Z: περὶ γάμων ἐπιτετραμμένων καὶ κεκωλυμένων, πρώτου καὶ δευτέρου, ἐγγράφου καὶ ἀγράφου, καὶ λύσεως αὐτῶν. [2] Z: addit ἑκατέρων. [3] Proem. Inst. I 10 ibique Theophilus. Ecl. priv. a II 1, Epanag. XVI 6 Epanag. a. XIV 3. Ecl. ad proch. m. II 1. Proch. IV γ δ Harm. IV 4 § 2, 3 l.4 (23-2) D. [4] A: verba ὡσαύτως—μητρός omiserit. [5] A: ἀλλήλων.

στι γονεῖς πρὸς τέκνα, ἀδελφοὶ πρὸς ἀδελφάς, καὶ τὰ τούτων τέκνα οἱ λεγόμενοι ἐξάδελφοι, καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι παῖδες καὶ μόνον, καὶ οἱ ἐξ ἐπιγαμίας γνωριζόμενοι συγγενεῖς, πατρωὸς[6] εἰς προγονὴν, πενθερὸς πρὸς νύμφην, προγονὸς πρὸς[7] μητρυιὰν, ἀδελφὸς πρὸς νύμφην, ἤγουν γυναῖκα ἀδελφοῦ, ὁμοίως πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς[8].

γʹ. Καὶ ἐπὶ τούτοις ἅπασι τοῖς προσώποις μηδὲ μνηστείαν γνωρίζεσθαι· ὁ μέντοιγε ἀπὸ τοῦ ἁγίου βαπτίσματός τινα δεξάμενος, οὐ δύναται ταύτην ὕστερον πρὸς γάμον ἀγαγέσθαι, ὡς δῆθεν θυγατέρα αὐτοῦ γενομένην, οὐδὲ τὴν ταύτης μητέρα ἢ θυγατέρα, ἀλλ' οὐδὲ ὁ υἱὸς αὐτοῦ, ἐπειδὴ οὐδ' ἄλλο οὕτως δύναται ἐπαγαγεῖν πατρικὴν διάθεσιν καὶ δικαίαν γάμου κώλυσιν πρὸς τὸν τοιοῦτον δεσμὸν, δι' οὗ θεοῦ μεσάζοντος αἱ ψυχαί των συνάπτονται[9].

δʹ. Ἔγγραφος γάμος συνίσταται δι' ἐγγράφου προικώου συμβολαίου ὑπὸ τριῶν ἀξιοπίστων μαρτύρων κατὰ τὰ παρ' ἡμῶν ἀρτίως εὐσεβῶς νομοθετούμενα, ὥστε ἐν αὐτῷ ὁμολογεῖν τὸν ἄνδρα τήν τε ἐντελῆ τῆς προικὸς οἰκείωσιν καὶ ἀδιάπτωτον καὶ ἀμείωτον αὐτῆς παραφυλακὴν καὶ συντήρησιν, μετὰ τῆς, ὡς εἰκός, παρ' αὐτοῦ ἐν ἐπαυξήσει ἀποχαρισθείσης αὐτῇ ποσότητος, ἐγγραφομένου ἐν τῷ παρ' αὐτοῦ ἐκτιθεμένῳ συμβολαίῳ κάσου ἐξ ἀπαιδίας μέρος τέταρτον· τριῶν δηλονότι συμβολαίων μεταξὺ αὐτῶν προερχομένων, δύο μὲν ἀντισυγγράφων τῆς προικὸς ἰσοδυνάμων, τοῦ δὲ ἑτέρου παρὰ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ἐκτιθεμένου, καὶ μὴ ἐπερωτᾶσθαι ἢ καταγράφεσθαι παρὰ τοῦ ἀνδρὸς ἰσόμετρον τῆς εἰσαγομένης αὐτῇ προικὸς προγαμιαίαν δωρεάν[10].

[6] Z: πατρῶος. [7] Z: εἰς. [8] Nov. Leonis et Const. XXVI apud. Zachar. Coll. I. Ecl. priv. a. I 4, Epanag. XVII λα Epanag. a. XV, 8 Ecl. ad proch. m. II, 2. Epitom. XXII λ, l. 26 C. (5. 4). Basil. sch. 38 (28. 4). Proch. VII κη, Harm. IV. 7 § 35. [9] Hanc § Z. non habet l. 26 C. (5. 4) Bas. 38 (28. 4) sch. [10] Ecl. ad proch. m. II 11, Ecl. priv. a. II. 3.

ε'. Καὶ εἰ δεήσει[11] τὴν γυναῖκα παίδων ἄνευ πρὸ τοῦ ἀνδρὸς τελευτῆσαι, τετάρτην μοῖραν καὶ μόνον ἐκ πάσης τῆς ὡς εἴρηται ὁμολογηθείσης αὐτῷ[12] προικὸς εἰς ἴδιον κέρδος ἐγκρατεῖν αὐτὸν καὶ τὸ ὑπόλοιπον ἥμισυ τέταρτον μέρος τῆς τοιαύτης προικὸς, ἢ εἰς τοὺς ἐκ τελευταίας βουλήσεως κληρονόμους ἀποκαθίστασθαι, ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου καλουμένους αὐτῆς κληρονόμους ἀποδίδοσθαι· εἰ δὲ ὁ ἀνὴρ πρὸ τῆς οἰκείας[13] γυναικὸς παίδων ἐκτὸς ἀποβιώσει, ὁμοίως πρὸς τῇ ἐντελεῖ ἀποκαταστάσει τῆς ὁμολογηθείσης αὐτῇ[14] προικὸς, ἓν τέταρτον[15] μέρος πρὸς τὸ μέτρον τῆς τοιαύτης προικὸς ἐκ τῶν ἐγκαταλειφθέντων τοῦ ἀνδρὸς αὐτῆς παντοίων πραγμάτων, ἐπ' ὀνόματι κάσου εἰς κέρδος οἰκεῖον λαμβάνειν αὐτὴν, καὶ τὴν περιττευομένην ἀνδρώαν ἅπασαν αὐτῆς ὕπαρξιν, ἢ εἰς τοὺς ἐκ τελευταίας αὐτοῦ βουλήσεως ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου αὐτοῦ κληρονόμους περιέρχεσθαι[16].

ϛ'. Εἰ δὲ παίδων ὑπόντων ὁ ἀνὴρ πρὸ τῆς οἰκείας[17] γαμετῆς τελευτήσει, τὴν γυναῖκα ἤγουν τὴν αὐτῶν[18] τέκνων μητέρα ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς καὶ ἀνδρώας πάσης ὑπάρξεως εἶναι, καὶ αὐτὴν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, προδήλως δημοσίαν ἀναγραφὴν ποιουμένης αὐτῆς ἤτοι ἰνδέντον[19] πάσης τῆς καταλιμπανομένης ὑπὸ τοῦ ἀνδρὸς αὐτῆς παντοίας ὑπάρξεώς τε καὶ περιουσίας, συγκειμένων τῇ τοιαύτῃ[20] ἀναγραφῇ, καὶ τῶν προικιμαίων αὐτῆς πραγμάτων εἰ καὶ ὕπεισιν αὐτῇ ἐν τοῖς ἐξωπροίκοις, ὀφειλούσης αὐτῆς τὰ ἐξώπροικα δεῖξαι δι' ἐνεργῶν συστάσεων, ὡς ταῦτα εἰσήγαγε τῷ οἴκῳ[21] τοῦ ἀνδρὸς αὐτῆς καὶ φαίνονται μετὰ τὴν αὐτοῦ τελευτήν· μὴ δυναμένων τῶν αὐτῆς τέκνων ἀντικαθίστασθαι αὐτῇ ἢ ἐπιζητεῖν παρ' αὐτῆς[22] πατρώαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν ὑπακοὴν καὶ πᾶσαν τιμήν[23], κατὰ τὴν τοῦ θεοῦ

[11] Z: Εἰ δὲ καὶ δεήσει. [12] Z: παρ' αὐτοῦ· [13] Z: ἰδίας. [14] Z: παρ' αὐτοῦ addit. [15] Z: καὶ τέταρτον. [16] Ecl. priv. a. II, 4. Ecl. ad proch. m. II 12. Epanag. XIX ε. η. [17] Z: ἰδίας. [18] Z: τὴν τῶν αὐτῶν. [19] Z: ἤτοι ἴνδεντον non habet. Harm. V 12, 21; I 13, 33, 34, 35. [20] Z: ἐν τῇ τοιαύτῃ. [21] Z: ἐν τῷ οἴκῳ. [22] A: αὐτοῖς. [23] Z: πᾶσαν ὑπακοὴν καὶ τιμήν.

ἐντολὴν, ὡς μητρὶ προσαγόντων αὐτῇ· προδήλως ὀφειλούσης αὐτῆς, καθὼς πρέπει γονεῦσι, τὰ τέκνα ἐκπαιδεύειν τε καὶ γαμοστολεῖν καὶ προῖκα ἐπιδιδόναι, καθὼς ἂν βουληθῇ [24]· εἰ δὲ συμβῇ αὐτὴν εἰς ἕτερον περιελθεῖν συνοικέσιον, ἄδειαν ἔχειν τὰ τέκνα αὐτῆς, παρεᾶν αὐτὴν καὶ πάντα τὰ πατρῷα αὐτῶν πράγματα [25] ἀνελλιπῶς κομίζεσθαι, τὴν εἰσενεχθεῖσαν παρ' αὐτῆς τῷ πατρὶ αὐτῶν [26] προῖκα, καὶ μόνον σὺν τῇ ἀποχαρισθείσῃ παρ' αὐτοῦ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς δωρεᾷ παρέχοντες αὐτῇ [27].

ζ'. Εἰ δὲ παίδων ὑπόντων ἡ γυνὴ πρὸ τοῦ ἰδίου ἀνδρὸς τελευτήσει, τὸν ἄνδρα αὐτῆς, ἤγουν τὸν πατέρα αὐτῶν, ἐγκάτοχον τῆς τε προικὸς αὐτῆς [28] καὶ τῆς ἐν ἐξωπροίκοις πάσης αὐτῆς ὑπάρξεως εἶναι, ὡς ὑπεξουσίων αὐτῶν τυγχανόντων, καὶ αὐτὸν τὴν πᾶσαν τοῦ οἴκου ποιεῖσθαι φροντίδα τε καὶ διοίκησιν, μὴ δυναμένων τῶν τέκνων αὐτοῦ ἀποκαθίστασθαι αὐτῷ [29] ἢ ἐπιζητεῖν παρ' αὐτοῦ μητρῴαν ὑπόστασιν, τοὐναντίον μὲν οὖν καὶ πᾶσαν τιμὴν καὶ ὑπακοὴν καθὼς ἁρμόζει γονεῦσι προσαγόντων αὐτῷ κατὰ τὸ γεγραμμένον· ἔργῳ [30] καὶ λόγῳ τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα ἐπέλθῃ σοι εὐχὴ παρ' αὐτῶν· εὐχὴ γὰρ πατρὸς στηρίζει οἴκους τέκνων, κατάρα δὲ μητρὸς ἐκριζοῖ θεμέλια, δι' αὐτῶν γὰρ ἐγεννήθησαν, καὶ τί ἀνταποδώσωσιν αὐτοῖς, καθὼς αὐτοὶ ἐκείνοις; ταῦτα γὰρ βεβαιῶν [31] καὶ Παῦλος ὁ ἀπόστολος ἔφη, τὰ τέκνα ὑπακούετε τοῖς γονεῦσιν ὑμῶν ἐν κυρίῳ· τοῦτο γάρ ἐστι δίκαιον· καὶ οἱ γονεῖς μὴ παροργίζετε τὰ τέκνα ὑμῶν, ἀλλ' ἐκτρέφετε αὐτὰ ἐν παιδείᾳ καὶ νουθεσίᾳ κυρίου. Εἰ δὲ συμβῇ αὐτὸν εἰς ἕτερον περιελθεῖν συνοικέσιον τῶν τέκνων αὐτοῦ ἀνηλίκων τυγχανόντων, ἀμείωτα τὰ μητρῷα αὐτῶν φυλάττεσθαι πράγματα· εἰ δὲ τῆς ἐννόμου

[24] Z: καθὼς ἂν βουληθείη. [25] Z: πάντα τὰ αὐτῶν πατρῷα πράγματα. [26] Z: τῷ ἀνδρὶ αὐτῆς. [27] Ecl. priv. a. II 5, Ecl. ad proch. m. II, 13 Epanag. ibid. [28] Verba δωρεᾷ παρέχοντες superioris § usque ad προικὸς αὐτῆς desunt in A culpa scriptoris. [29] Z: ἀντικαθίστασθαι αὐτῷ. [30] Z: Ἐν ἔργῳ.—Sirach 3, 9-11. [31] A: βεβαίως.—Eph. 6, 1. 4.

ἡλικίας ταῦτα τυγχάνουσιν[32], εἰ θέλουσιν[33] ἀδιασκέπτως τὰ τοιαῦτα αὐτῶν παρέχεσθαι αὐτοῖς πράγματα[34].

η'. Εἰ δὲ θελήσει ἐκ τοῦ ἀνδρογύνου, εἴτε ἀνὴρ, εἴτε γυνὴ, χωρὶς δευτερογαμίας ἐκ τῶν ἰδίων τέκνων ἀπαναχωρῆσαι[35] ἀνηλίκων αὐτῶν τυγχανόντων, μὴ ἔχειν αὐτοὺς ἄδειαν τοῦτο πρᾶξαι, ἀλλὰ τὴν τούτων φροντίδα ποιεῖσθαί τε καὶ διοίκησιν, καθὼς εἶπεν ὁ ἀπόστολος· ὅτι χήρα ἔχουσα τέκνα ἢ ἔγγονα μανθανέτω πρῶτον τὸν ἴδιον οἶκον εὐσεβεῖν· τοῦτο γάρ ἐστιν ἀπόδεκτον ἐνώπιον τοῦ θεοῦ· εἰ δὲ τῶν ἐντελῶν χρόνων εἰσὶ τὰ τέκνα καὶ εἰς βίον περιῆλθον καὶ δύνανται τὴν οἰκείαν[36] διοίκησιν ποιεῖν, καὶ θελήσει τις ἐκ τῶν γονέων ἀπαναχωρῆσαι[37] ἐξ αὐτῶν, ἐπ' ἀδείας ἔχειν τὸ τοιοῦτο πρόσωπον μετὰ τὴν τῶν ἰδίων πραγμάτων ἐγκράτησιν καὶ ἑνὸς παιδὸς μοῖραν λαμβάνειν[38] πρὸς τὸν ἀριθμὸν τῶν τέκνων[39].

θ'. Εἰ δὲ κατὰ στένωσιν ἢ διὰ ταπείνωσιν μὴ δυνηθῇ τις εὐπρολήπτως καὶ ἐγγράφως ποιῆσαι γάμον, καὶ ἄγραφος[40] συνίσταται γάμος ἀδόλως συναινέσει τῶν συναλλασσόντων προσώπων καὶ τῶν τούτων[41] γονέων, εἴτε ἐν ἐκκλησίᾳ τοῦτο δι' εὐλογίας ἢ καὶ ἐπὶ φίλων γνωρισθῇ. Ἀλλὰ καὶ οἱοσδήποτε ἐσοικιζόμενος γυναῖκα[42] ἐλευθέραν καὶ καταπιστεύων αὐτῇ τὴν τοῦ ἰδίου οἴκου διοίκησιν καὶ ταύτῃ σαρκικῶς συμπλεκόμενος, ἄγραφον συναλλάσσει πρὸς αὐτὴν γάμον· ἐὰν δὲ ἐξ αὐτῆς μὴ παιδοποιήσας πειραθῇ ἐκδιῶξαι αὐτὴν ἐκ τῆς πρὸς αὐτὸν συνοικήσεως αἰτίας νόμῳ ἐγνωσμένης ἐκτὸς, διδόναι αὐτῇ πρὸς τῇ ἀποκαταστάσει τῶν, ὡς εἰκὸς, εἰσενεχθέντων παρ' αὐτῆς πραγμάτων καὶ τέταρτον[43] μέρος τῆς αὐτοῦ περιουσίας[44].

ι'. Εἰ δὲ καὶ ἀπόρῳ γυναικὶ πρὸς νόμιμον γάμον συναφθῇ

[32] Z: ὑπάρχουσι. [33] Z: θελήσουσι. [34] Ecl. priv. a. II. 6, Ecl. ad proch. m. II 14. [35] Z: ὑπαναχωρῆσαι. [36] Z: ἰδίαν. [37] Z: ἀναχωρῆσαι. [38] Z: addit αὐτόν. [39] Ecl. priv. a. II 7, Ecl. ad proch. m. II 15 — 1 Tim 5, 4. [40] Z: ἀγράφως. [41] A: τούτου. [42] Z: ἐνοικιζόμενος εἰς γυναῖκα. [43] Z: τὸ τέταρτον. [44] Proch. a. VII, 65 Ecl. priv. a. II 2. Ecl. ad proch. m. II 16.

τις, καὶ τελευτήσει[45] παίδων καὶ διαθηκῶν[46] χωρὶς, κομίζεσθαι τὴν γυναῖκα ἐκ τῆς ἀνδρώας ὑποστάσεως ὑπὲρ ἐξ ἀπαιδίας κάσου τέταρτον μέρος κατὰ τὴν εὐπορίαν του[47] ἕως λιτρῶν δέκα[48]· εἰ δὲ καὶ ἐπάνω τῶν δέκα λιτρῶν εὐπορεῖ ὁ ἀνὴρ, μὴ ἔχειν αὐτὴν ἄδειαν ἕτερόν τι κομίζεσθαι, καὶ τὰ ὑπόλοιπα περιέρχεσθαι ἢ εἰς τοὺς ἐξ ἀδιαθέτου κληρονόμους, ἢ μὴ ὑπόντων κληρονόμων εἰς τὸ μέρος τοῦ δημοσίου[49].

ια'. Δευτερογαμία συνίσταται ἐπὶ τοῖς μὴ κεκωλυμένοις προσώποις, εἴτε ἐγγράφως, εἴτε ἀγράφως οὕτως· εἰ μὲν παίδων χωρὶς, ἀπεριέργως συναλλάσσειν κατὰ τοὺς ἀνωτέρω δηλουμένους τρόπους· εἰ δὲ παῖδες ὕπεισι τῷ δευτερογαμοῦντι προσώπῳ, μὴ ἔχειν αὐτὸν ἄδειαν χαρίσασθαι τῇ δευτέρᾳ γυναικὶ πλείω ἑνὸς παιδὸς μοῖραν τοῦ ἐκ προτέρων αὐτοῦ γάμων ἐκ τῆς ἰδίας περιουσίας καθ' οἱανδήποτε φιλοτιμίαν· ὁμοίως δὲ τὸ αὐτὸ παραφυλάττεσθαι καὶ ἐπὶ τῆς δευτερογαμούσης γυναικός, προδήλως παραφυλαττούσης αὐτῆς τῶν ἀπὸ καιροῦ τῆς τελευτῆς τοῦ προτέρου αὐτῆς ἀνδρὸς δωδεκαμηνιαῖον χρόνον[50]· εἰ δὲ πρὸ τοῦ δωδεκαμηνιαίου χρόνου[51] δευτερογαμήσει, ἄτιμος ἔσται, μηδὲν ἐκ τοῦ προτέρου ἀνδρὸς κερδαίνουσα καθ' οἱονδήποτε τρόπον· παραφυλαττούσης δὲ αὐτῆς, ὡς εἴρηται, τὸν ὡρισμένον χρόνον, κομίζεσθαι αὐτὴν τὴν ἰδίαν προῖκα μετὰ τῶν, ὡς εἰκὸς, ἀποχαρισθέντων αὐτῇ ἐν ἐπαυξήσει τῆς προικὸς αὐτῆς· ὡσαύτως δὲ καὶ τὸν ἄνδρα εἰς δεύτερον γάμον περιερχόμενον, μηδὲν ἐκ τῆς προτέρας αὐτοῦ γυναικὸς λαμβάνειν· ἐὰν δὲ[52] ὑπάρχωσιν ἀνήλικοι παῖδες, τὰ τούτων πράγματα παραφυλάττειν αὐτὸν μέχρις ἂν τῶν ἐντελῶν γένωνται χρόνων· εἰ δὲ[53] τῶν ἐντελῶν εἰσι, παρέχεσθαι αὐτοῖς ἀπεντεῦθεν ἤδη τὰ μητρῷα αὐτῶν ἐν-

[45] Z: addit ὁ ἀνήρ. [46] Z: διαθήκης. [47] Z: τοῦ ἀνδρός. [48] A: verba εἰ δὲ—κομίζεσθαι non habet. [49] Proch. a. VII. 66 Ecl. priv. a. II 9, 22. Ecl. ad proch m. II, 17. Proch. V ϛ, Nov. 53 c. 6, Nov. 117 c 5. Harm. V 8, 81. Epit. XXV κϛ. Epanag. XIX ιζ. [50] Z: ταύτης τὸν ἀπὸ τοῦ καιροῦ τῆς τελευτῆς τοῦ προτέρου ἀνδρὸς παραφυλαττούσης ιϐ' μηνιαῖον χρόνον. [51] Z: πρὸ τούτου. [52] Z: εἰ δέ. [53] Z: εἰ δὲ καί.

τελῶς πράγματα, ἐὰν δὲ[54] καὶ τέκνα ποιήσῃ ἐκ τῆς δευτέρας γυναικός, καὶ συμβῇ αὐτὸν τελευτῆσαι, ἄδειαν ἔχειν καὶ τὰ πρῶτα καὶ τὰ δεύτερα τέκνα τὸν ἴδιον κληρονομεῖν πατέρα· ὁμοίως δὲ καὶ τὴν μητέρα[55].

ιϐ'. Ἡ δευτερογαμοῦσα γυνή, ἔχουσα ἐκ προτέρων γάμων παῖδας, αἰτείτω πρὸ τοῦ συναλλάγματος τοῦ δευτέρου ἐπίτροπον[56] τοῖς παισὶν αὐτῆς, καὶ οὕτω συναλλασσέτω· εἰ γὰρ μὴ τοῦτο γένηται, ὑπεύθυνα τὰ αὐτῆς καὶ τοῦ δευτέρου ἀνδρὸς αὐτῆς πράγματα γενήσονται ἐπὶ τῇ ἀποκαταστάσει τῶν ἀνηκόντων τοῖς νέοις πατρικῶν αὐτῶν πραγμάτων[57].

ιγ'. Τῆς ἀδιαλύτου τῶν γαμικῶς ἐν κυρίῳ συμβιούντων ἑνώσεως ἡ τοῦ κτίστου καὶ δημιουργοῦ τῶν ἁπάντων θεοῦ σοφία διδάσκαλος· αὐτὸς γὰρ εἰς τὸ εἶναι παραγαγὼν ἐξ οὐκ ὄντων τὸν ἄνθρωπον, οὐ τὸν αὐτὸν καὶ τὴν γυναῖκα πλάσαι τρόπον ἐκέλευσε, καίπερ δυνάμενος, ἀλλ'ἐκ τοῦ ἀνδρὸς ταύτην ἐδημιούργησεν, ἵνα τῆς ἡνωμένης σοφῶς[58] μιᾶς ἐν δυάδι προσώπων σαρκός, τῆς συζυγίας νομοθετήσῃ τὸ ἀδιάζευκτον· ὅθεν, οὐδὲ τὴν γυναῖκα τῇ ὑποθέσει τοῦ ὄφεως τῆς πικρᾶς τῷ ἀνδρὶ κατάρξασαν γεύσεως ἀπὸ τούτου ἐχώρισεν, οὐδ' αὖ τὸν ἄνδρα τῆς δεσποτικῆς ἐντολῆς τὴν παράβασιν τῇ ὁμοζύγῳ συνεργασάμενον ταύτης διέζευξεν, ἀλλὰ τὴν μὲν ἁμαρτίαν ἐκόλασε, τὴν δὲ συζυγίαν οὐκ ἔλυσε. Ταύτῃ τοίνυν τῇ ἐναργεῖ νομοθεσίᾳ, αὖθις καὶ λόγῳ κυρωθείσῃ παρὰ τοῦ κτίσαντος κατὰ τὸν καιρὸν τῆς τῶν φαρισαίων πρὸς αὐτὸν ἐρωτήσεως, εἰ ἔξεστιν ἀνθρώπῳ κατὰ πᾶσαν αἰτίαν ἀπολύειν τὴν γυναῖκα αὐτοῦ, καὶ ἀποκριθέντος, τοὺς ὑπὸ τοῦ θεοῦ ζευχθέντας μὴ δύνασθαι ὑπὸ[59] ἀνθρώπου παρεκτὸς λόγου πορνείας χωρίζεσθαι, ἐξακολουθοῦντές τε καὶ πειθόμενοι οὐδὲ ἡμεῖς

[54] Z: εἰ δέ. [55] Proch a. VII. 10 sq. Ecl. priv. a II 11, 14. Ecl. ad proch. m. II 19, 23, 25. Proch. VI 4,5. Nov. 22 c. 22,23 Harm. IV 7, § 20—23, I 13, 32. Cnf. et Athan. schol. X a, b (in 'Ανέκδ. Heimbachii p 112 sequ.). [56] Z: ἐπιτρόπους. [57] Harm. V 12,51. Proch. a. VII, 24 Ecl. priv. a. II, 12. Nov. 22 c. μ. ibid. Athan. [58] Z: σαφῶς. [59] Z: μηδαμῶς παρά.— Matth. 19, 3 sq.

ἕτερόν τι νομοθετεῖν ὑπὲρ τοῦτο βουλόμεθα· ἀλλ' ἐπειδὴ τὰ τῆς κακίας εἶδος ἐπιμελῶς τοῖς πολλοῖς τῶν ἀνθρώπων ἐμπολιτεύεται, κἀντεῦθεν ἀγαπητικῶς πρὸς ἀλλήλους μὴ διακείμενοι κατὰ πολλὰς αἰτίας, καίπερ μὴ οὔσας τοιαύτας[60], ποιοῦντες[61] τῆς ἑαυτῶν συμβιώσεως τὴν διάζευξιν, ῥητῶς ἐνθεῖναι τῇ παρούσῃ νομοθεσίᾳ τὰς αἰτίας[62], δι' ὧν τὰ συνοικέσια λύονται τῶν δεόντων ἐκρίναμεν[63].

ιδ'. Λύεται ὁ ἀνὴρ ἀπὸ γυναικὸς διὰ τοιαύτας αἰτίας· ἐὰν ἡ γυνὴ πορνεύσῃ· ἐὰν ἐπιβουλεύσηται[64] οἱῳδήποτε τρόπῳ τῇ ζωῇ αὐτοῦ, ἢ ἐπισταμένη ἑτέρους ἐπιβουλεύοντας, μὴ καταμηνύσῃ αὐτῷ· καὶ ἐὰν λωβή ἐστιν.

ιε'. Ὁμοίως δὲ λύεται καὶ γυνὴ[65] ἀπὸ τοῦ ἀνδρὸς διὰ τοιαύτας αἰτίας· ἐὰν ἀδυνατήσῃ ὁ ἀνὴρ ἐπὶ τριετίᾳ ἀπὸ καιροῦ τοῦ συναλλάγματος τοῦ γαμικοῦ[66] τῇ οἰκείᾳ μιγῆναι[67] γυναικί· ἐὰν ἐπιβουλεύσηται[68] οἱῳδήτινι τρόπῳ τῇ ζωῇ αὐτῆς, ἢ ἐπιστάμενος ἑτέρους ἐπιβουλεύοντας, μὴ καταμηνύσῃ αὐτῇ, καὶ ἐὰν λωβός ἐστιν· εἰ δὲ συμβῇ ἐξ αὐτῶν ἕνα μετὰ τὸν γάμον ἢ πρὸ τοῦ γάμου[69] ὑπὸ δαίμονος κυριευθῆναι, τούτους ἐκ τῆς τοιαύτης αἰτίας ἀπ' ἀλλήλων μὴ χωρίζεσθαι· ἄνευ τε[70] τῶν αἰτιῶν τούτων τῶν γνωριζομένων, μὴ δύνασθαι ἀνδρόγυνον διαλύεσθαι κατὰ τὸ γεγραμμένον ὅτι, οὓς ὁ θεὸς ἔζευξεν, ἄνθρωπος μὴ χωριζέτω[71].

---

[60] A: καίπερ μὴ οὔσας ταύτας· [61] Z: ποιοῦνται. [62] Apud. Z. verba τὰς αἰτίας desunt. [63] Haec § habet inscriptionem Περὶ αἰτιῶν συμβαινόντων ὅταν λυθῇ ὁ γάμος et in margine τίτλος γ. Ecl. priv. a. III 1. [64] Z: ἐπιβουλεύσῃ. [65] Z: ἡ γυνή. [66] Z: τοῦ γαμικοῦ συναλλάγματος. [67] A: μιγῆναι non habet. [68] Z: ἐπιβουλεύσῃ. [69] verba ἢ πρὸ τοῦ γάμου apud Z. desunt. [70] Z: δέ. [71] Ecl. ad proch. m. III 3.— Matth. 19, 6. Marci 10, 9.

ΤΙΤΛΟΣ Γ'.

Περὶ καταγραφείσης προικὸς καὶ μὴ ἐπιδοθείσης, καὶ περὶ δικαίου προικός.

α'. Ὁ ὁμολογῶν ἐγγράφως ἢ ἀγράφως ὑποδέξασθαι προῖκα καὶ μὴ πληρούμενος αὐτήν, μείζων ὢν τῶν εἴκοσι πέντε ἐτῶν, ἄδειαν ἔχει μετὰ τὸν γάμον μέχρι πενταετοῦς χρόνου καὶ μόνον ταύτην ἐπιζητεῖν καὶ ἐντελῶς κομίζεσθαι, εὐπορούντων τῶν γονέων τῆς κόρης τὰ ὑποσχεθέντα αὐτῷ ἀποπληρῶσαι· εἰ δὲ τοῦτο μὴ ποιήσει καὶ ἀμελήσει ταῦτα ἀποπληρωθῆναι, ὑποκεῖσθαι αὐτὸν τῷ μέρει τῆς γυναικὸς κατὰ τὴν δύναμιν τῶν παρ' αὐτοῦ ὁμολαγηθέντων· ἥττων δὲ ὑπάρχων μετὰ τὴν ἐκπλήρωσιν τῶν εἴκοσι πέντε ἐνιαυτῶν καὶ ἑτέρων πέντε χρόνων, δύναται ἐπιζητεῖν τὴν ὑποσχεθεῖσαν αὐτῷ προῖκα κατὰ τὴν αὐτοῦ ὁμολόγησιν[1]· περαιουμένης γὰρ μετὰ τὸν ἐντελῆ χρόνον τῆς ὁρισθείσης προθεσμίας, μὴ ἔχειν αὐτὸν ἄδειαν κινεῖν περὶ[2] τὴν ἀναργυρίαν τῆς τοιαύτης καὶ παρ' αὐτοῦ ὁμολογηθείσης προικός, ἀλλὰ ὑποκεῖσθαι αὐτὸν καθὰ εἴρηται τῷ μέρει τῆς γυναικὸς κατὰ τὰ παρ' αὐτοῦ ὁμολογηθέντα[3].

β'. Ἡ γυνὴ εἰσάγουσα προῖκα τῷ ἀνδρὶ αὐτῆς, ἐὰν συμβῇ ὑπὸ συμφορᾶς τινος τὸν ἄνδρα ὑποπεσεῖν εἰς ζημίας ἢ χρέη εἴτε τῷ δημοσίῳ ἢ ἑτέρῳ δήποτε προσώπῳ, καὶ τελευτήσει, μὴ ἔχειν ἄδειαν μήτε τὸν δημόσιον μήτε ἕτερον ἄνθρωπον ἐπιβῆναι εἰς τὸν οἶκον αὐτοῦ καὶ ἐπάραι τὶ, μέχρις ὅτου ἡ γυνὴ τὴν ἰδίαν αὐτῆς προῖκα ἀποπληρωθῇ· μετὰ δὲ τὴν ταύτης πλήρωσιν τὰ περισσευόμενα κατὰ ἀναμοιρίαν οἱ χρεωφειλέται μεριζέσθωσαν[4].

---

[1] Z: ὁμολογίαν. [2] A: παρά. [3] Proch. a. XI 20. Ecl. priv. a. III 1. Ecl. ad proch. m IV 1. Proch. IX ια. Epanag. XXIII κϛ. Epi'om. XXV λγ sch. Harm. II 2, § 5 6. C 3 (5 15), Nov. 100. [4] Deest apud A. Proch. a. XI. 21. Ecl. priv. a. III 2. 3. 4. Ecl. ad proch. m. IV 2. Proch. IX ιζ Harm. I 13, 28 C 2 (7, 73).

ΤΙΤΛΟΣ Δ΄.

Περὶ δωρεῶν ἁπλῶν,
ἤγουν ἀπεντεῦθεν ἤδη χρήσεως καὶ δεσποτείας πραγμάτων ἢ δεσποτείας αὐτῶν μόνον, ἢ μετὰ θάνατόν τισι καταλιμπανομένων· καὶ περὶ αἰτιῶν, ἐξ ὧν αἱ τοιαῦται δωρεαὶ ἀνατρέπονται[1].

α΄. Ἄγραφος ἁπλῆ δωρεὰ συνίσταται, ὅταν τις τῶν ἐντελῶν ὑπάρχων χρόνων[2] ἐπὶ πέντε ἢ καὶ τριῶν μαρτύρων δωρήσηταί τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων, πέντε μὲν μαρτύρων εἰς τόπους συνισταμένους καὶ εὑρισκομένων ἀνθρώπων, τριῶν δὲ εἰς τόπους ἐρήμους καὶ μὴ εὑρισκομένου τοῦ μέτρου τῶν πέντε[3].

β΄. Ἔγγραφος ἁπλῆ δωρεὰ συνίσταται, ὅταν[4] ὑπὸ τοῦ τελείαν ἄγοντος ἡλικίαν συνταγῇ ἢ ὑπογραφῇ καὶ κατὰ τὸν προειρημένον τρόπον ἐπὶ πέντε ἢ τριῶν μαρτύρων ἐπὶ τοῦτο προσκληθέντων ἐγγράφως μαρτυρηθῇ καὶ ἀπολυθῇ[5].

γ΄. Εἰ δέ τις ποιήσει δωρεὰν εἴς τινα πρὸς τὸ μετὰ τὴν τελευτὴν αὐτοῦ λαβεῖν τὰ δωρηθέντα αὐτῷ πράγματα, καὶ ἀπεντεῦθεν ἤδη τὴν δεσποτείαν καὶ μόνον δωρεῖσθαι[6] αὐτῷ, καὶ τὴν τοιαύτην δωρεὰν ἐγγράφως ἐπὶ πέντε ἢ τριῶν μαρτύρων γίνεσθαι κατὰ τοὺς προειρημένους τρόπους[7].

δ΄. Ἡ διὰ προσδοκίαν θανάτου δωρεά, ἤτοι μετὰ ἀποβίωσιν τοῦ δωρουμένου τὴν σύστασιν ἔχουσα, γίνεται καὶ αὐτὴ[8], ὡς ἀνωτέρω δεδήλωται, διά τε τοῦ δωρουμένου καὶ πέντε ἢ τριῶν μαρτύρων ὑπογραφῆς συμπληρουμένη[9].

ε΄. Εἰ δὲ αὐτὸς ὁ δωρούμενος διατάξηται ἐγγράφως ἐν τῇ

[1] Imperfectam hanc inscriptionem A habet. Ex ed. Zach. supplevi. [2] Z: χρόνων ὑπάρχων. [3] Ecl. priv. a. IV 3. Ecl. ad proch. m. V 1. [4] A: ὅτε. [5] Nov. Irenae XXVII Coll. Zach. I. Ecl. priv. a IV 1. Ecl. ad proch. m. V 2. [6] Z: δωρήσηται. [7] Ecl. priv. a. IV 5. Ecl. ad proch. m. V 3. [8] A: αὐτῆς. [9] C. 4 (8. 57). Bas. 48 (47. 3). Ecl. priv. a. IV 5. Ecl. ad proch. m. V 4.

αὐτῇ δωρεᾷ αὐτοῦ μὴ μεταμεληθῆναι ἢ διαστρέψαι τὴν τοιαύτην δωρεὰν, ταύτην εἶναι κεκυρωμένην, μόνον ἵνα δηλωθῇ ἡ διάταξις αὐτοῦ καὶ ἐν τῷ ὕφει καὶ ἐν τῇ ὑπογραφῇ αὐτοῦ [10].

ϛ'. Πᾶσα δωρεὰ ἀνατρέπεται διὰ τοιαύτας αἰτίας· ἐὰν ὁ τὴν δωρεὰν λαβὼν ἀχάριστος περὶ τὸν δωρησάμενον εὑρεθῇ, ἐὰν τραχείας ὕβρεις ἐπαγάγῃ αὐτῷ, ἢ τύψῃ αὐτὸν, ἢ μεγίστην ζημίαν ἐπενέγκῃ αὐτῷ, ἢ ἐπιβουλεύσηται τῇ ζωῇ αὐτοῦ, ἢ τὰ συμφωνηθέντα, ἐφ' οἷς ἡ δωρεὰ ἐγγράφως ἢ ἀγράφως ἐγένετο, μὴ πληρώσῃ· μιᾶς γὰρ τούτων τῶν αἰτιῶν ἐν δικαστηρίῳ ἀποδεικνυμένης, ὡς εἴρηται, ἀνατρέπεται [11].

ΤΙΤΛΟΣ Ε'.

Περὶ τῶν κεκωλυμένων διατίθεσθαι [1].

α'. Κωλύονται διατίθεσθαι· οἱ ἐκ νοσήματός τινος ἐν παραφορᾷ ὄντες, καὶ οἱ ἀνήλικοι, τουτέστιν οἱ μὲν ἄρρενες ἥττονες ὄντες [2] τῶν δέκα πέντε ἐτῶν, αἱ δὲ θήλειαι ἥττονες τῶν δεκατριῶν οὖσαι [3]· οἱ διὰ παντὸς μαινόμενοι· οἱ ἐν αἰχμαλωσίᾳ ὄντες [4]· καὶ οἱ ὑπεξούσιοι ἄνευ τῶν ἰδιοκτήτων αὐτῶν πραγμάτων,

[10] Ecl. priv. a. IV 6. Ecl. ad proch. m. V 5. Epanag. XXII ε. Proch. a. XIII 21. Athan. epit. VII 4 ('Ανέκδ. Heimb. 93) Nov. 87, Dig. 13 § 1 l. 35 § 4 (39. 6) Theod. breviar LXXXVII ('Ανέκδ. Heimb. 242. 'Ανέκδ. Zachar. 84).

[11] Ecl. priv. a. IV 7. Ecl. ad proch m. V 9 Proch. XIII γ Epanag. XXII ια, Harm. III, 2, 3 C. 10 (8. 56). Inst. 2 (2. 7) ibique Theophilus. Cnf. Brachylog. II 13, 12. Matth. Blast. Δ. ιγ (S VI 238).

[1] Z: addit προσώπων καὶ περὶ διαθηκῶν ἐγγράφων καὶ ἀγράφων. [2] Z: ὄντες — ἥττονες. [3] Proch. XXI γ Harm. V 1 § 3. Inst 1 (2.12). Dig. 5 (28 1) — Bas. 6 (35.1). [4] Harm. V 1 § 16 et 10. Dig. 8. 17 (28. 1) — Bas. 8, 18 (35, 1).

εἰς δὲ τὰ ἐκ τῶν γονέων ἐπιδοθέντα αὐτοῖς ὀνόματι προικὸς μὴ ἔχειν αὐτοὺς ἄδειαν διατίθεσθαι· ὁ ἐκ γενετῆς[5] κωφὸς καὶ ἄλαλος[6]· οἱ δὲ ἔκ τινος ἀσθενείας τοιούτοις νοσήμασι περιπίπτοντες, γράμματα γινώσκοντες, ὑπογράφοντες ἰδιοχείρως διατιθέσθωσαν[7].

β΄. Ἔγγραφος γίνεται διαθήκη ἐν ἑνὶ καὶ τῷ αὐτῷ καιρῷ ὑπὸ ἑπτὰ ἀξιοπίστων ἀνδρῶν[8] μαρτύρων ἐπὶ τούτῳ προσκληθέντων καὶ ἐν αὐτῇ κατὰ ταὐτὸν[9] ὑπογραφόντων καὶ σφραγιζόντων, τοῦ διατιθεμένου ὀφείλοντος διὰ τῆς ἰδίας ὑπογραφῆς ἢ διὰ χειροχρήστου[10] τὸ ὄνομα τοῦ κληρονόμου ἐν αὐτῇ ἀποσημειώσασθαι, μὴ ἐμφαίνοντος τοῖς μάρτυσιν, εἴ γε βούλονται, τὰ τῆς διατυπώσεως αὐτοῦ[11].

γ΄. Ἄγραφος συνίσταται διαθήκη, ὅτε ἑπτὰ μαρτύρων ἅμα εὑρισκομένων, τὴν ἑαυτοῦ[12] ὁ διατιθέμενος πεποίηται βούλησιν[13].

δ΄. Εἰ δὲ ἐν ᾧ τις διατίθεται τόπῳ ἐγγράφως ἢ ἀγράφως, ἑπτὰ ἐπὶ τὸ αὐτὸ μὴ εὑρίσκωνται[14] μάρτυρες, καὶ ἐπὶ πέντε καὶ ἐπὶ τριῶν διατιθέσθω τὰ καθ' ἑαυτόν· εἰ δὲ καὶ τρεῖς μὴ εὑρεθῶσιν, ἄκυρον τοῦ διατιθεμένου ὑπάρχειν τὴν βούλησιν[15].

ε΄. Τῆς δὲ διαθήκης, καθὰ[16] εἴρηται, ἐντελῶς γινομένης, ἐὰν οἱ γονεῖς τὰ ἑαυτῶν γνήσια τέκνα ἢ καὶ ἐν αὐτῶν ἐάσωσιν ἀμνημόνευτον, τηρείτωσαν οἱ ἀκροαταὶ καὶ εἰ πολλάκις εὑρε-

[5] Z: ἐκ γεννητῆς. [6] Proch. XXI θ Harm. V 1, 12. Dig, 6 (28. 1) — Bas. 7 (35. 1). [7] Ecl. priv. a. V 1. Ecl. ad. proch. m. VI 1-5 L. 10-12 C. (6. 22). L. 6. 8. pr. 16. 17. Dig. (28. 1). Inst. 2. (2. 11). et (2. 12) ibique Theoph. Matth. Blast. Δ δ (S. VI 207) Proch. XXI η, θ, ι, Epanag. XXIX θ-ια. [8] Verbum ἀνδρῶν apud Z deest. [9] A: κατ' αὐτόν. [10] A. χειρὸς χρίστου. [11] Nov. 27 Irenae (coll. 1 Zach). Cnf. et Nov. 119 c. 9. Proch. a. XXIII 35. Ecl. priv. a. V 2, Ecl. ad proch. m. VI 6. Inst. 3 (2-10) ibique Theoph. C. 21 (6.23) — Basil. 16 (35. 2). Proch XXI ιε. Epanag. XXIX 16. Harm. V, 1, 35. [12] Z: αὐτοῦ. [13] Inst. 14. (2. 10) ibique Theoph. Proch. a. XXIII 36. Ecl. priv. a. V 3, Ecl. ad proch. m. VI 7. C. 21 § 2 (6. 23) — Basil. ibid. Matth. Blast. Δ δ. (S. VI 208). [14] A: εὑρισκόμενοι. [15] Proch. XXI. 15 Epanag. XXIX 8 Harm. V 1, 35. Nov. Leon. 41. Ecl. priv. a. V 4. Ecl. ad proch. m. VI 8. [16] Z: καθώς.

θῶσιν ἐνυβρίσαντα τοὺς γονεῖς[17] ἢ καὶ ἕτερόν τι πρὸς πλῆξιν αὐτῶν ἐνδειξάμενα, μενέτω ἀπαρασάλευτος τῶν γονέων ἡ διατύπωσις· εἰ δὲ καὶ μετὰ τὴν τῆς διαθήκης ποίησιν ἐπιγεννηθῇ αὐτοῖς βρέφος ἐγκυμονούμενον, αἱ μὲν ἐλευθερίαι καὶ τὰ λεγάτα κατὰ τὴν τοιαύτης διαθήκης κρατείτωσαν δύναμιν, τὸ δὲ γεννώμενον συνερχέσθω τοῖς λοιποῖς ἀδελφοῖς καὶ συγκληρονομείτω[18].

ϛ'. Ἐάν τις ἔχων γνήσιον τέκνον[19], πρὸς πλῆξίν[20] τι τῶν γονέων ἐργάσηται καὶ ἐν τῷ γήρει ἀπρονοήτους ἐῶν αὐτούς, προσδράμῃ[21] πρόσωπον ἕτερον ἐξυπηρετοῦν αὐτούς, καὶ ὡς ὑπ' αὐτοῦ εὐεργετηθέντες κληρονόμον ἐγκαταλιπεῖν αὐτὸν τῆς οἰκείας θελήσωσιν[22] ὑποστάσεως, ἐρρωμένην αὐτῶν ὑπάρχειν τὴν βούλησιν[23].

ζ'. Πᾶς κληρονόμος, εἴτε ἐξ ἐγγράφου ἢ καὶ δι' ἀγράφου διατυπώσεως, παρασυρμὸν καὶ ὑπέρθεσιν μέχρις ἐνιαυτοῦ ποιῶν καὶ τὰ τῆς βουλήσεως μὴ πληρῶν, εἰ μὲν τέκνον ἢ ἔγγονος τοῦ τετελευτηκότος ὁ τοιοῦτος ὑπάρχει, τὴν ὀφειλομένην αὐτῷ νόμιμον καὶ μόνον κομίζεσθαι[24] μοῖραν· ἡ δὲ νόμιμος μοῖρα ἐστὶν, ἕως τεσσάρων παίδων τὸ τρίτον μέρος τῆς ὑποστάσεως, ἀπὸ δὲ πέντε καὶ τῶν ἄνω[25] τὸ ἥμισυ. Εἰ δὲ ἕτερός τις συγγενής ἐστι, τῆς τοῦ διατιθεμένου παντελῶς ἐκπιπτέτω περιουσίας, καὶ ταῦτα εἰς τοὺς ἐαθέντας αὐτῷ συγκληρονόμους, λεγαταρίους[26] ἢ καὶ ἑτέρους συγγενεῖς περιέρχεσθαι. Εἰ δὲ ξένον πρόσωπόν ἐστιν ὁ κληρονόμος ὁ τὰ τῆς τοιαύτης διατυπώσεως μὴ πληρῶν, τῆς ἁπάσης διακατοχῆς γινέσθω ἀλλότριος[27].

[17] Z: τοῖς γονεῦσι. Ecl. ad. proch. m. VI 10. Nov. 115 c. 3 § 1-4. [18] Ecl. priv. a. V 5. Ecl. ad proch. m. VI 10. Proch. XXV 6 Harm. V, 5, 8. Proch. a. XXIII 32. 34. Epanag. XXXIV δ'. C. 3 (6. 29) Inst. 1 (2. 13) ibique Theoph. [19] Z: υἱόν. [20] Z: λῆξιν. [21] Z: προσλάβῃ. [22] Z: ἐθελήσωσιν. [23] Proch. a. XXIII 33. Ecl. ad proch. m. VI 11. Proch. XXXIII δ Nov. 115 c. 3. § 12. [24] Z: κομιζέσθωσαν. [25] Z: καὶ ἄνω. [26] Z: ἢ λεγαταρίους. [27] Ecl. priv. a. V7. Ecl. ad proch. m. VI 12. Nov. 1 c. 1. Theod. I ('Ανέκδ. Zach).

η'. Ἐάν τις ἐν πολέμῳ πληγεὶς ἢ[28] καὶ ἐν ὁδῷ περιπατῶν πρὸς τὸ θανεῖν ἐγγίσῃ καὶ τὰ καθ' ἑαυτὸν βουληθείη διατυπῶσαι, ἐπ' ἀμφοτέροις δὲ αὐτῶν νομικὸς ἢ ἕτερός τις μὴ εὑρεθῇ ἐπιστάμενος γράμματα, δι' ἑπτὰ ἢ πέντε ἢ τριῶν μαρτύρων τὴν οἰκείαν ποιείτω βούλησιν· ἐπεὶ καὶ δύο ἐὰν εὑρεθῶσιν[29], τῆς τούτων δηλονότι ὑπὸ ἀκροατῶν δοκιμαζομένης προσλήψεως[30].

ΤΙΤΛΟΣ ϛ'.

Περὶ τῶν ἐξ ἀδιαθέτου κληρονομιῶν[1] καὶ λεγάτων καὶ περὶ τῶν ἐξ ἀχαριστίας ἐκπιπτόντων.

α'. Ἐάν τις ἀδιάθετος τελευτήσῃ καὶ ὕπεισιν αὐτῷ τέκνα ἢ καὶ ἔγγονα, ταῦτα[2] κληρονομείτωσαν· εἰ δὲ ὑπάρχει τῷ τελευτήσαντι πατὴρ καὶ μήτηρ, πάππος καὶ μάμμη ἀνιόντες[3] καὶ ἐπέκεινα, οὗτοι κληρονομεῖν,τέκνων[4] καὶ ἐγγόνων ὑπόντων, οὐ δύνανται[5].

β'. Εἰ δὲ καὶ οὐκ εἰσὶ τέκνα ἢ καὶ[6] ἔγγονα, ἔστι δὲ πατὴρ καὶ μήτηρ καὶ[7] πάππος καὶ μάμμη, οἱ ἐγγύτεροι κληρονομείτωσαν[8].

γ'. Ἐὰν υἱὸς ἢ θυγάτηρ, τῶν γονέων ζώντων, τελευτήσωσιν

[28] Z: non habet. [29] A· εὑρ. [30] Z: προλήψεως. Proch. XXI ιϛ. Harm. V 1, 36—Bas. 13 (35. 3). Ecl. ad proch. m. VI 9.

[1] A: κληρονόμων. [2] A: addit καί. [3] Z: ἢ καὶ ἐπέκεινα. [4] Z: τῶν τέκνων. [5] Ecl. priv. a. VII 1 Ecl. ad proch. m. VIII 1 Proch XXX 6. Epanag. XXXIII ιδ' Nov. 118 c. 1. Athan. IX 10 ('Ανέκδ. Heimb. 104) Theod. CXVIII ('Ανέκδ. Zach. 117) Matt. Blast. K, ιϛ (S VI 324). Harm V 8, 5. [6] Z: εἴτε. [7] Z: καὶ non habet. [8] Ecl. priv. a. VII 1, Ecl. ad proch. m. VIII 2 Proch. XXX ε Harm. V, 8, 6. Nov. 118. c. 2.

ἄτεκνοι καὶ ἀδιάθετοι, ἀδελφοὺς ἢ καὶ ἀδελφὰς ὁμοπατρίους καὶ ὁμομητρίους ἔχοντες, τὴν τούτων κληρονομίαν εἰς τοὺς γονεῖς ἐπανάγεσθαι, καὶ μὴ ἔχειν ἄδειαν τοὺς ἀδελφοὺς[9] περὶ τούτων λέγειν τι· εἰ δὲ γονεῖς οὐχ ὕπεισιν, ἔστι δὲ πάππος καὶ μάμμη, ἅμα τοῖς ὁμοπατρίοις καὶ ὁμομητρίοις ἀδελφοῖς συγκληρονομείτωσαν[10].

δ'. Εἰ δὲ, οὔτε πάππος, οὔτε μάμμη[11], οὐδὲ ὁμοπάτριοι καὶ ὁμομήτριοι ἀδελφοὶ ὕπεισι τῷ τελευτήσαντι, τότε οἱ ἐξ ἑνὸς γονέως ἀδελφοὶ τῇ κληρονομίᾳ ὑπεισερχέσθωσαν[12].

ε'. Εἰ δὲ, καθὰ[13] εἴρηται, οὐχ ὕπεισιν ἀδελφοὶ, εἰσὶ δὲ συγγενεῖς, οἱ ἐγγύτεροι κληρονομείτωσαν[14].

ϛ'. Εἰ δὲ, οὔτε συγγενεῖς εἰσὶν, ἔστι δὲ γυνὴ τοῦ τελευτήσαντος, τὸ μὲν ἥμισυ μέρος ἁπάσης[15] τῆς περιουσίας ἐκείνη κληρονομείτω, τὸ δὲ ἕτερον ἥμισυ μέρος τῷ δημοσίῳ εἰσκομιζέσθω[16]· εἰ δὲ οὔτε γυνὴ τοῦ τελευτήσαντος[17] ὕπεστι, τότε τὴν ἅπασαν τούτου περιουσίαν ὡς ἀκληρονόμητον τῷ δημοσίῳ, εἴρηται[18], εἰσκομιζέσθωσαν[19].

ζ'. Ἐάν τις τελευτῶν ὁρίσῃ λεγάτα, μετὰ τὴν πρόσφορον προδήλως ἔξοδον ταῦτα διδόσθωσαν, καὶ μὴ ἔχειν ἄδειαν τὸν κληρονόμον εἰς ἑτέραν πρόφασιν τὸ ἐαθὲν λεγάτον ἐξοδιάζειν, ἀλλὰ τοῦτο ἀποκαθιστᾶν τῷ λεγατευθέντι[20].

η'. Ἐὰν ὁ κληρονόμος εἴδησιν τῆς ἐγκαταλιμπανομένης αὐτῷ ὑποστάσεως ἔχῃ, καὶ οἶδε χρέη προηγεῖσθαι, ἐπὶ ἀξιοπίστων μαρτύρων ἀναγραφέτω τὴν τοιαύτην ὑπόστασιν, καὶ φανερούσθω ταύτης ἡ δύναμις, καὶ πρῶτον μὲν ἱκανούσθωσαν οἱ

[9] A: τὰ ἀδέλφια. [10] Parat. Proch. a. κζ 1, Ecl. priv. a. VII 1 Ecl. ad proch. m. VIII 3. Nov. 84 c. 1 Nov. 118 c. 2. [11] A: verba ἅμα—μάμμη omittit. [12] Ecl priv. a VII 5. Ecl. ad proch. m. VIII 4. Nov. 118 c. 2. [13] Z: καθώς. [14] Ecl. ad proch. m. VIII 5. Proch. XXX ι'. Harm. V 8, § 14. Nov. 118 c. 3 § 1. [15] Z: αὐτοῦ addit. [16] Z: εἰσκομίζεσθαι. [17] Z: τῷ τελευτήσαντι. [18] Z: verbum εἴρηται non habet. [19] Z: εἰσκομίζεσθαι. Ecl. priv. a. II 8 et 15 Ecl. ad proch. m. VIII 6. C. 1 (6. 18) — Bas. 2 (45. 5). C. 4 (10. 10). [20] Ecl. priv. a. VII 6, 11. Ecl. ad proch. m. VIII 15.

χρεωφειλέται, καὶ εἶθ' οὕτως τὸ περιττεῦον ἐχέτω[21] ὁ κληρονόμος[22].

θ'. Εἰ δὲ αὐθαδῶς[23] καὶ ὡς ἔτυχεν ὑπεισερχόμενος τῆς αὐτῆς ὑφάψεται ὑποστάσεως, καὶ φανῇ μερικῶς τινα τῶν χρεῶν ἀποδούς, ὑποκεῖσθαι[24] πληροῦν καὶ τοὺς λοιποὺς ὡς διὰ προσφόρου ἀναγραφῆς τὴν τῆς τοιαύτης ὑποστάσεως μὴ γνωρίσας κατάληψιν[25].

ι'. Εἰ δὲ ἐσχάτως ἀναφυῶσι τὰ χρέη, τοῦ κληρονόμου τὴν περὶ τούτου ἄγνοιαν κεκτημένου, διὰ μαρτύρων ἢ καὶ δι' ὅρκου τὸ εὑρεθὲν τῇ ὑποστάσει καὶ περιελθὸν εἰς αὐτὸν παριστᾶν αὐτόν, καὶ πρὸς αὐτὸ ἀποκοπτέτω μετὰ τῶν χρεωφειλετῶν αὐτοῦ, καὶ μηδὲν περαιτέρω τούτων[26] ἀπαιτεῖσθαι[27].

ια'. Εἰ δὲ κληρονόμος οἱοσδήποτε ἢ καὶ λεγατάριος φανῇ ἀποκρύψας τὴν καταλειφθεῖσαν αὐτῷ διαθήκην, καὶ ἐν ὑστέρῳ αὕτη[28] παρ' αὐτῷ[29] εὑρεθῇ, ἐκπιπτέτω, ὁ μὲν κληρονόμος τῆς κληρονομίας, ὁ δὲ λεγατάριος τοῦ λεγάτου[30].

ιβ'. Εἰ δέ τις τελευτῶν τῷ οἰκείῳ κληρονόμῳ, ἀγράφως ἢ καὶ χωρὶς μαρτύρων τὴν ἰδίαν καταλείψει ὑπόστασιν καὶ τὴν ταύτης ἐκείνῳ ἐντελεῖται διοίκησιν, καὶ ἀναφυῇ τις ἐγκαλῶν λεγάτον αὐτῷ ἐαθῆναι παρὰ τοῦ τελευτήσαντος, παραστῆσαι δὲ διὰ μαρτύρων ἢ καὶ ἑτέρως πως ἀληθείας τὰ παρ' αὐτοῦ λεγόμενα ἔχεσθαι οὐ δύναται, διδόσθω τῷ λόγῳ τοῦ κληρονόμου[31].

ιγ'. Ἐκπίπτουσι δὲ τῆς νομίμου κληρονομίας δι' ἀχαριστίαν, οἱ μὲν παῖδες, ἐὰν τύψωσι τοὺς ἰδίους γονεῖς, ἐὰν βαρέως αὐτοὺς ὑβρίσωσιν, ἢ καὶ εἰς ἔγκλημα κατηγορήσωσιν αὐτοὺς ἢ καὶ συκοφαντήσωσιν, ἐὰν φαρμακοῖς ὡς φαρμακός τις αὐτῶν

[21] In A. legitur ἀναγραφέτω τὴν τοιαύτην ὑπόθεσιν καὶ φανερούσθωσαν οἱ χρεωφειλέται, καὶ εἶθ' οὕτως τὸ περιττεῦον ἐχέτω ὁ κληρονόμος. [22] Ecl. priv. a. VII 12. Ecl. ad proch. m. VIII 16. Nov. 1 c. 2 § 1. [23] Z: καὶ αὐθ. [24] Z: ὑποκείσθω. [25] Ecl. priv. a. VII 13. Ecl. ad proch. m. VIII 17. Nov. 1 c. 2 § 2. [26] Z: τοῦτον. [27] Ecl. priv. a. VII 12. Ecl. ad proch. m. VIII 18. Nov. 1 c. 3 fin. Athan. IX 1 (Ἀνέκδ. Heimb. 98). [28] A: ταύτην. [29] Z: παρ' ἑνὶ αὐτῶν. [30] Ecl. priv. a. VII 14. Ecl. ad proch. m. VIII 19. C. 25. (6. 37). — Basil. 50 (44. 4). Harm. V, 11, 34. [31] Ecl. ad proch. m. VIII 20.

συναναστρέφηται, ἐὰν ἐπιβουλεύσωσιν οἱῳδήποτε τρόπῳ τῇ ζωῇ[32] αὐτῶν, ἐὰν τῇ μητρυιᾷ ἢ τῇ παλλακῇ τοῦ πατρὸς αὐτῶν σωματικῶς τις αὐτῶν[33] μιγῇ, ἐὰν τοὺς γονεῖς φυλακιζομένους οἱ ἄρρενες παῖδες προτραπέντες μὴ ἀντιφωνήσωσιν, ἐὰν ἡ θυγάτηρ μὴ ἕληται[34] νομίμως συζευχθῆναι βουλομένων τῶν γονέων, ἀλλ' αἰσχρῶς διάγειν, ἐὰν μαινομένων τῶν γονέων μὴ ἕλωνται[35] οἱ παῖδες ἀντιλαβέσθαι[36] αὐτῶν[37].

ΤΙΤΛΟΣ Ζ'.

Περὶ ἐπιτρόπων καὶ κουρατώρων[1].

α'. Ἐὰν[2] ἔκ τινων ὀρφανοὶ καταλειφθῶσι καὶ νήπιοι, καὶ ὕπεστι τούτοις ὑπόστασις, εἰ μὲν οἱ γονεῖς αὐτῶν τελευτῶντες ἐγγράφως ἢ[3] ἀγράφως κουράτωρα[4] τούτοις παρέασαν[5], φυλαττέσθω ἐκείνων ἡ βούλησις· εἰ δὲ μή, οἱ εὐαγεῖς οἶκοι τὴν τούτων κουρατωρείαν ἐχέτωσαν, ἐν μὲν τῇ θεοφυλάκτῳ ταύτῃ πόλει, τὸ ὀρφανοτροφεῖον καὶ οἱ λοιποὶ εὐαγεῖς οἶκοι καὶ αἱ γεγνωρισμέναι[6] ἐκκλησίαι, ἐν δὲ ταῖς ἐπαρχίαις τὰ ἐπισκοπεῖα, τὰ μοναστήρια καὶ αἱ ἐκκλησίαι, μέχρις ὅτου[7] πρὸς γάμου πεῖραν[8] καταντῶντες οἱ κληρονόμοι ζευχθῶσιν. Εἰ δὲ καὶ πρὸς[9] γάμον ἐλθεῖν οὗτοι οὐ βούλονται, μέχρις εἰκοσαετοῦς χρόνου τοὺς αὐ-

[32] A: τὴν ζωήν. [33] Z: ἐξ αὐτῶν. [34] Z: μὴ αἱρῆται. [35] Z: προαιρῶνται. [36] Z: ἀντιλαμβάνεσθαι. [37] Ecl. priv. a. VII 16. Ecl. ad proch. m. VIII 27. Proch. XXXIII α,6,γ,δ,ε,η, Harm. V 10,1 (ed. Heimb.). Nov 115 κ. 3 § 1 sequ.

[1] Z: περὶ ὀρφανῶν καταλειφθέντων καὶ τῆς τούτων κουρατωρείας. [2] Z: Εἰ. [3] Z: καὶ ἀγρ. [4] A: κουράτωρες. [5] Z: παρείασαν. [6] Z: ἐγνωσμέναι. [7] Z: μέχρις ἄν. [8] Z: μοῖραν. [9] in Z defuit.

τοὺς εὐαγεῖς οἴκους, τὰ μοναστήρια[10] καὶ τὰς ἐκκλησίας, τὰς τοιαύτας ὑποστάσεις παραφυλάττειν, καὶ εἶθ' οὕτω ταύτας[11] ἀνελλιπῶς τοῖς εἰρημένοις καὶ[12] κληρονόμοις ἀποδιδόναι· οὐ γὰρ ἀρεστὸν τῷ θεῷ ἔστι τοῦ καθάπερ μέχρι τοῦ νῦν κουράτωρας ἑτέρους προβλήσκεσθαι[13], καὶ τὰ τῶν ὀρφανῶν κατεσθίειν,κἀκεῖνα[14] προσαιτεῖν· οἱ γὰρ αὐτοὶ εὐαγεῖς οἶκοι καὶ αἱ τοῦ θεοῦ ἐκκλησίαι, οἱ καὶ τῶν ἀλλοτρίων προϊστάμενοι καὶ τοὺς ξένους ὡς ἰδίους κατὰ τὴν ἐντολὴν τοῦ κυρίου ξενοδοχοῦντες καὶ[15] ὑποδεχόμενοι, πολλῷ πλέον τὰ τῶν ὀρφανῶν φυλάξουσι καὶ τὴν τούτων ἀποκατάστασιν καιρῷ τῷ ἰδίῳ ποιήσουσι[16].

ΤΙΤΛΟΣ Η'.

Περὶ ἐλευθεριῶν καὶ ἀναδουλώσεων.

α'.'Επιτίθεται οἰκέτῃ ἐλευθερία,ὁπόταν παρὰ τοῦ ἰδίου κυρίου δημοσιευθῇ, εἴτε ἐν ἐκκλησίᾳ ἢ καὶ ἐπὶ φίλων πέντε, ἐπὶ τούτῳ[1] προσκληθέντων, ἢ καὶ πέντε μὴ εὑρισκομένων καὶ μέχρι τριῶν, ἀπογραφομένων τε καὶ ἀποτιθεμένων ἐπὶ πράξεως ὑπομνημάτων τὴν οἰκείαν εἴδησιν· εἴτε δι' ἐπιστολῆς τοῦ κυρίου αὐτοῦ,πέντε μαρτύρων ἢ καὶ τριῶν, ὡς εἴρηται, ὑπογραφὰς ἐπὶ τούτῳ ἐχούσης. Καὶ ἐν διαθήκῃ ἐγγραφομένῃ οἰκέτῃ δίδοται[2].

10 Z: καὶ τὰ μοναστ. 11 Z: αὐτάς. 12 apud Z καὶ deest. 13 Z: προβάλλεσθαι. 14 A: ἐκεῖ γάρ. 15 Z: τε καί. 16 Ecl. priv. a. VIII 1, Ecl. ad proch. mut. IX 1.

1 A: τοῦτο. 2 Ecl. priv. a IX 1, Ecl. ad proch. m. X 1. Proch. XXXIV η Harm. I 18, 10. Inst. 1 § 1 (1. 5) ibique Theophilus. C. 1 § 1 (7. 6) — Bas. 1 (48. 14).

β'. Ἀλλὰ καὶ ὅτε, βουλήσει τοῦ τελευτήσαντος ἢ παραχωρήσει τοῦ κληρονόμου, ὁ οἰκέτης ἐν τῇ κεφαλῇ παννίον φορέσας τῇ τοῦ τελευτήσαντος[3] ἐπακολουθήσει κηδείᾳ[4].

γ'. Ἢ[5] ἐὰν ὁ κύριος τὸν ὑποκείμενον αὐτῷ δοῦλον ἐλευθέρῳ ζεύξῃ προσώπῳ[6].

δ'. Ἢ πάλιν, ἐὰν ὁ κύριος αὐτοῦ ἢ καὶ ἡ τούτου κυρία ἢ τὰ αὐτῶν τέκνα εἰδήσει καὶ ἐπιτροπῇ τῶν γονέων ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος αὐτὸν[7] δέξωνται, ἢ καὶ ἐὰν εἰδήσει καὶ βουλῇ τοῦ κυρίου αὐτοῦ κληρικὸς ἢ μοναχὸς γένηται· αἱ δὲ εἰρημέναι ἐλευθερίαι ἀπεντεῦθεν ἤδη ἢ[8] ὑπὸ ὅρον παρὰ τῶν κυρίων αὐτῶν[9] δίδονται[10].

ε'. Εἰ δέ τις ἐκ τούτων τῶν τρόπων ἐλευθερίᾳ τιμηθεὶς[11] ἐν δουλείᾳ κατέχεται, προσερχέσθω τῇ ἁγίᾳ τοῦ θεοῦ ἐκκλησίᾳ καὶ τοῖς προσφόροις ἄρχουσι, καὶ παρ' αὐτοῖς τὰ τῆς ἐπιτεθείσης αὐτῷ ἐλευθερίας ἀποδεικνύτω[12], καὶ ταύτης ἀπολαυέτω[13].

ϛ'. Ὁ ἐκ τῶν ἐχθρῶν ἐλεύθερον ἀγοράσας[14] αἰχμάλωτον καὶ ἐν τῷ ἰδίῳ οἴκῳ ἀποκαθιστῶν αὐτόν, εἰ μὲν εὐπορεῖ τὰς στοιχηθείσας[15] μεταξὺ αὐτῶν πληρῶσαι τιμάς, ἀπολυέσθω ἐλεύθερος· εἰ δὲ ἀπορεῖ, ἐχέτω αὐτὸν ὁ ἀγοράσας μίσθιον μέχρις ἂν πληρωθῇ, ἅπερ ἐστοίχησεν, ὁριζομένου δηλονότι ὑπὸ[16] ἀκροατῶν τοῦ ὀφείλοντος ἑκάστῳ ἔτει ὑπὲρ μισθῶν τῷ ἀγορασθέντι λογίζεσθαι[17].

ζ'. Οἱ ἀπελεύθεροι, κἂν στρατευόμενοι ὦσιν[18], ἐξ ἀχαριστιῶν τοιούτων καταδουλοῦνται· ἐὰν τοὺς κυρίους, ἤγουν τοὺς ἐλευ-

[3] verba ἢ παραχωρήσει — τελευτήσαντος desunt in A. [4] Ecl. priv. a. IX 2. Ecl. ad proch. m. X 2. C. 1 § 5 (7. 6) — Bas ibid. [5] Z: non habet [6] Ecl. priv. a. IX 3 pr. Ecl. ad. proch. m. X. 3 Epit. XXIV λ Theod. Herm. (Ἀνέκδοτα Heimb. I 228) Nov. 22 c. 11. [7] A: αὐτῶν. [8] Z: καί. [9] in Z deest. [10] Ecl. priv. a. IX 3, Ecl. ad pr. m. X 4 et 5. Nov. 123 c. 4 et 17. Athanasii XVIII parat. § 1 (Ἀνέκδ. Heimb. 168) Theod. Hermop. CXXIII 40 (Ἀνέκδ. Zach. 128). [11] A: τιμηθῇ [12] Z: δεικνύτω. [13] Ecl. priv. a. IX 4, Ecl. ad proch. m X 6. [14] Z: ἀγοράζων. [15] Z: συμφωνηθείσας. [16] A: ἀπό. [17] Ecl. priv. a. IX 5 Harm. I 18, 37. C. 2 (8. 51). 20 Dig. § 1 (28. 1). [18] A: ὡς.

θερωτὰς αὐτῶν ἢ τοὺς αὐτῶν παῖδας, τύψωσιν, ἢ ὑβρίσωσιν, ἢ ἔκ τινος ὑπερηφανίας κατ' αὐτῶν τραχηλιάσωσιν, ἢ καὶ ὅλως μικράν τινα προσκρούσεως αὐτοῖς αἰτίαν παράσχωσιν, ἢ ζημιώσωσιν, ἢ ἐπιβουλεύσωσιν αὐτοῖς, εἰ καὶ ἓν ἐξ αὐτῶν παρὰ ἄρχοντι ἢ δικαστῇ ἀποδειχθῇ [19].

η'. Ὁ ὑπὸ τῶν πολεμίων αἰχμαλωτιζόμενος οἰκέτης καὶ κλάσμα τι ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς ἐνδεικνύμενος, καὶ οὕτως ὑποστρέφων, παραχρῆμα ἐλευθερούσθω· ὁ δ' αἰχμαλωτισθεὶς ὑπ' αὐτῶν καὶ πάλιν ἀποφυγὼν, κλάσμα τι ὑπὲρ τῆς πολιτείας εἰς αὐτοὺς μὴ ἀπεργασάμενος, ἀλλ' οὕτως ἀνθυποστρέφων, πενταετίαν ἐν τῇ ἰδίᾳ δεσποτείᾳ [20] δουλευέτω, καὶ εἶθ' οὕτως ἐλεύθερος ἀπολυέσθω [21].

θ'. Ὁ δὲ [22] αὐτοπροαιρέτως τοῖς ἐχθροῖς προστρέχων καὶ πάλιν ἐν μεταμελείᾳ γενόμενος καὶ ἀποφεύγων ἐξ αὐτῶν καὶ ἀνακάμπτων, δι' ὧν [23] ὅλως αὐτομολήσας τούτοις προσέδραμεν, ἕως τῆς ζωῆς αὐτοῦ ἔστω ὡς [24] δοῦλος [25].

ΤΙΤΛΟΣ Θ'.

Περὶ πράσεως καὶ ἀγορασίας ἐγγράφου καὶ ἀγράφου [1].

α'. Ἔγγραφος καὶ ἄγραφος πρᾶσις καὶ ἀγορασία, ἐπὶ [2] οἰω-

[19] Ecl. ad proch. m. X. 19. Harm. I, 18, 19. C 2 (6. 7). — Bas. 19 (49. 2). [20] Verba ἐν τῇ ἰδίᾳ δεσποτείᾳ in Z desunt. [21] Ecl. priv. a. IX 6, Ecl. ad proch. m. X 7. Cnf. C. 20 (8. 51) Harm. I, 18, 31. [22] Z: δὲ non habet. [23] Z: διότι. [24] Z: ὡς non habet. [25] Ecl. priv. a. IX 7, Ecl. ad proch. m. X 8. Cnf. Nov. Leonis 67 (coll. II Zach). Harm. VI, 8, 4.

[1] Z: addit καὶ ἀρραβώνων αὐτῶν. [2] Z: ἐφ'.

δήποτε εἴδει καὶ πράγματι τῆς τιμῆς στοιχουμένης, συνίσταται ἀδόλῳ τῶν συναλλασσόντων συμφωνίᾳ. Ἡνίκα οὖν ἡ τιμὴ τῷ πράτῃ, τὸ δὲ εἶδος τῷ ἠγορακότι δοθῇ, τὴν τοιαύτην πρᾶσιν ἐκ μεταμέλου ἑνὸς αὐτῶν μὴ ἀνατρέπεσθαι· δεῖ γὰρ τὸν ἀγοραστὴν πρὸ τοῦ συναλλάγματος δι' ἐρεύνης γίνεσθαι ἀκριβοῦς[3], καὶ οὕτως συναλλάσσειν· εἰ δὲ ὡς εἰκὸς μετὰ τὴν πρᾶσιν εὑρεθῇ τὸ πραθὲν σῶμα ἐλεύθερον ἢ καὶ δαιμονιῶν, τοῦτο ἀναδίδοσθαι[4].

ϐ'. Ἐὰν ἀρραϐὼν ἐν οἱῳδήποτε[5] συναλλάγματι δοθῇ, ὡς ἀτελοῦς ὄντος τοῦ συναλλάγματος, ἐξ ἀγνωμοσύνης μὲν τοῦ δεδωκότος[6], ἐν κέρδει γενέσθω τοῦ λαϐόντος ὁ δοθεὶς ἀρραϐών, ἐκ διαστροφῆς δὲ τοῦ δεξαμένου τὸν ἀρραϐῶνα, ἀναδιδόσθω μετὰ καὶ ἄλλου τοσούτου τῷ δεδωκότι αὐτόν[7].

ΤΙΤΛΟΣ Ι'.

Περὶ δανείου ἐγγράφου καὶ ἀγράφου, καὶ τῶν διδομένων ἐπ' αὐτοῖς ἐνεχύρων.

α'. Ἐάν τις ἐγγράφως ἢ καὶ ἀγράφως λογάριον ἢ ἄργυρον[1] ἢ καὶ ἕτερόν τι εἶδος τὸ οἱονοῦν ἐν τῇ γῇ ἢ καὶ ἐν τῇ θαλάσσῃ δανείσηται, κατὰ τὸ στοίχημα καὶ τὴν μεταξὺ αὐτῶν προθε-

[3] Sic Z. A etiam διερευνῇ γίνεσθαι καὶ ἀκρίϐωσιν· forsitan rectius κατ' ἀκρίϐωσιν. [4] Proch. a. XV 52, Ecl. priv. a. X 2, Ecl. ad proch. m. XI. 1 Epanag. XXIII α, Inst. (3. 23) ibique Theophilus. C. 3 (4. 44). Matth. Blast. A δ (S. VI 76). [5] Z: πράγματι ἤ. [6] Z: τὸν ἀρραϐῶνα. [7] Proch. a. II 1 Ecl. priv. a. X 5, Ecl. ad proch. m. XI 2. Epit. XVI γ. Cnf. Proch. XIV a. Epanag. XXIII 6. Inst. pr. (3. 23) ibique Theoph. Harm. III 3, 1-3.

[1] A: λογάριν ἢ ἄργυρον.

σμίαν ἀπολαμβανέτω ὁ δανείσας τὰ ἴδια, μὴ ἔχοντος ἄδειαν τοῦ δανεισαμένου ἐχθρικὴν ἐπιδρομὴν[2], ναυάγιον θαλάσσης ἢ καὶ ἑτέραν τὴν οἱανοῦν ἀφορμὴν, πρὸς διαστροφὴν ἢ ἀναγωγὴν προτίθεσθαι τοῦ δανείσαντος. {Εἰ δὲ τὸ ἐνέχυρον ἀναδῶ τῷ χρεώστῃ μου, οὐ δοκῶ ἀποτάττεσθαι τῇ περὶ χρέους, ἅμα καλῶς ἀπαιτῶ, εἰ μή τι ἐναντίον ἐκεῖνος ὁ χρεώστης ἀποδείξει, τῷ ὡς ἀποταξάμενος τὸ χρέος τὸ ἐνέχυρον αὐτῷ δέδωκα[3]). Ἐὰν δὲ ὁ δανεισάμενος ἐνέχυρα τέθηκε, καὶ αὐτὸς μετὰ τὴν τοῦ χρέους ἀποπλήρωσιν ἀνελλιπῶς ἀπολαμβανέτω[4] τὰ ἴδια, μὴ δυναμένου τοῦ[5] τὰ τοιαῦτα κατεσχηκότος ἐνέχυρα λέγειν τι κατὰ τοῦ δανεισαμένου, ἢ ὅτι ἀπώλεσεν αὐτὰ, ἢ ἑτέραν τινα προφέρειν[6] πρόφασιν, εἰ μήπω ἀποδειχθῇ τοιαύτην, ὡς εἰκὸς, ἐπελθεῖν συμφορὰν[7] καὶ σὺν τοῖς ἰδίοις ἀπολεσθῆναι καὶ τὰ ἀλλότρια, καὶ καθὼς λοιπὸν περὶ τούτου τηρήσουσιν οἱ ἀκροαταί[8].

ϐ'. Ἐάν τις δανείσῃ τινὶ καὶ κατὰ τὴν οἰκείαν ὁμολόγησιν[9] ἐκ προθεσμίας[10] ὁ χρεώστης μὴ ἐκπληρώσῃ, προτρεπέσθω τοῦτον ἐκ διαβασίμου ὁ χρεωστούμενος, καὶ ἐὰν μετὰ δύο καὶ τρεῖς προτροπάς τε καὶ διαμαρτυρίας μὴ θελήσῃ ὁ χρεωστῶν παρουσιασθῆναι[11] ἢ τὸ ἀπόχρεων ποιῆσαι, αὐθεντίαν ἐχέτω ὁ τὰ ἐνέχυρα κατέχων ὑπὸ ἀκριβῆ δημοσίαν ἐκτίμησιν, ἐγγράφως διὰ ταβουλαρίου[12] ἢ καὶ ἐκδίκου[13] ἀποσημειουμένην, ταῦτα διαπιπράσκειν, καὶ ἐκ τῶν τιμημάτων τὰ χρεωστούμενα[14] αὐτῷ παρακρατεῖν, καὶ τὸ, ὡς εἰκὸς, περιττεῦον ἀποκαθιστᾶν τῷ χρεωστοῦντι· εἰ δὲ ἡ τῶν ἐνεχύρων δικαία διάπρασις οὐ σώζει τὴν

[2] Z: addit ἤ. [3] Verba Εἰ δὲ—αὐτῷ δέδωκα in Z desunt, puto autem scholium fuisse hic introductum, eamque ob causam uncinis a me inclusa sunt. [4] Z: ἀναλαμϐ. [5] in A τοῦ deest. [6] Z: προσφέρειν. [7] Z: addit ὅτε ἀπώλεσε αὐτά. [8] Ecl. priv. a XI 3, Ecl. ad proch. m. XII 1. Epanag. a. XI 3. XXII 5 Proch. XVI 1 Epanag. XXVIII Harm III 5, 20 21 22 24. L. 6 L. 8 L 9 C (4. 24) L. 13 Dig § 1 (13. 7, Inst. 3, 4 (3. 14) ib Theoph. L. 3 Dig. (2. 14)—Basil. 3 (11. 1). 13, 48, 50, 51 (25 1). Matth Blast. Δ 6 (S. VI 205). [9] Z: ὁμολογίαν. [10] Z: ἐκπροθεσμήσας. [11] Z: παρρησιασθῆναι. [12] Z: ταβουλλαρίων. [13] Z: ἐκδίκων. [14] Z: κεχρεωστημένα.

ἐντελῆ τοῦ χρέους ἀπόδοσιν, ἀπαιτείτω τὸν χρεώστην τὸ λοιπαζόμενον[15].

γ'. Ὁ δανειστής, ἐὰν ἐνέχυρα λάβῃ καὶ ἐπάρῃ τὰ τέκνα τῶν ἰδίων χρεωστῶν ἢ[16] εἰς δουλικὴν ὑπηρεσίαν ταῦτα μισθώσηται, ἐκπιπτέτω τοῦ χρέους καὶ ἄλλην τοσαύτην ποσότητα[17] τῷ κρατηθέντι ἢ καὶ τοῖς γονεῦσι καταβαλλέτω[18].

δ'. Ἐάν τις ἔχων γυναῖκα δανείσηται ἔκ τινος καὶ μὴ εὐπορῇ τὴν τούτων ποιῆσαι ἀπόδοσιν, ἀνέγκλητος ἔστω ἡ γυνὴ αὐτοῦ τοῦ ταῦτα ἐκ τῆς προικὸς αὐτῆς παρασχεῖν[19] τῷ δανείσαντι, εἰ μήπω[20] εὑρεθῇ ἑκουσίως ἐν τῷ τοιούτῳ χρέει συνομολογήσασα τῷ ἀνδρὶ αὐτῆς[21].

ε'. Συνίσταται κοινωνία ἢ[22] ἐγγράφως ἢ ἀγράφως[23] μεταξὺ δύο ἢ καὶ πλειόνων, ὁπόταν ἕκαστος αὐτῶν ἢ[24] ἐξ ἰσότητος ἢ καὶ ὑπ' ἔλαττον τὴν οἰκείαν εἰς ἐνθήκην[25] συναγάγῃ μοῖραν, ἢ τινῶν μὲν εἰς ἐνθήκην ἑτέρου δὲ ἢ ἑτέρων τοὺς οἰκείους μόχθους καὶ ὁπερίας καταβαλλομένων[26]· διὸ δὲ περιποιούμενον αὐτοῖς κέρδος, μεθ' ὑφαίρεσιν δηλονότι τῶν κεφαλαίων, κατὰ τὰ ἐν μέσῳ αὐτῶν στοιχηθέντα ἐπιμερίζεσθαι· εἰ δὲ συμβῇ ἐπὶ τῇ τοιαύτῃ κοινωνίᾳ προσγίνεσθαι τῇ ἐνθήκῃ[27] ζημίαν, ἕκαστον κοινωνὸν κατὰ τὴν[28] τοῦ κέρδους μοῖραν καὶ αὐτὴν ἐπιγινώσκειν[29].

---

[15] Ecl. priv. a. XI 4 Ecl. ad proch. m. XII 2. Epanag. a. XXII 35 Cnf. Proch. XVI ζ. Harm. III 5, 9. 28. Inst. 1. (2. 8) C. 4 (4. 24) — Bas. 46, 53 (25. 1). [16] Z: καί. [17] A: addit ἐν. [18] Ecl. priv. a. XI 9. Ecl ad proch. m. XII 3. Athan. VI 3 parat. ('Ανέκδ. Heimb p. 82). Theod. Hermop. ('Ανέκδοτα Heimb. 256 I) Nov. 134 c 7. Harm. III 5, 66. L. 6 C. (8. 17) — Bas. 25 (25. 5). [19] Z: παρέχειν. [20] A: μήπως. [21] Ecl. priv. a. XI 10. Ecl. ad proch. m XII 8. Epan. a. XXII 36 Proch. IX κ. Harm. I 13, 14. Nov. 134 c. 8. [22] Z: non habet ἤ. [23] A: ἔγγραφος ἢ ἄγραφος. [24] Z: ἢ non habet. [25] Z: verba εἰς ἐνθήκην non habet. [26] Z: ἑτέρων δὲ τοὺς ἰδίους μόχθους καταβαλλομένων. [27] Z: τῇ ἐνθήκῃ προσγενέσθαι. [28] Z: addit hic ἰδίαν. [29] Ecl. priv. a. XI 12. Ecl ad proch. m. XII 16. Proch. a. XX 29. Inst. pr. 1 et 2 (3. 25) ibique Theophilus.

ΤΙΤΛΟΣ ΙΑ'.

Περὶ πάσης παρακαταθήκης.

α'. Ἐάν τις δι' οἱανδήποτε πρόφασιν ἢ φόβον παραθήκην παράθηταί τινι, καὶ συμβῇ τὸν ταύτην παραλαμβάνοντα ἀρνήσασθαι ζητουμένου τοῦ κεφαλαίου, καὶ ἀποδεικνυμένου αὐτοῦ· ψεύστου, εἰς τὸ διπλάσιον[1] ἀποδιδότω αὐτὰ τῷ παραθεμένῳ· εἰ δὲ καὶ δεήσει συμφοράν τινα εἴτε ἀπὸ πυρκαϊᾶς ἢ καὶ ἀπὸ κλοπῆς ἐπελθεῖν αὐτῷ καὶ σὺν τοῖς ἰδίοις αὐτοῦ ἀπολέσθαι κἀκεῖνα, τηρείτωσαν οἱ ἀκροαταὶ καὶ ἀνέγκλητον τὸν τὴν τοιαύτην παρακαταθήκην[2] ἐσχηκότα φυλαττέσθωσαν ὡς ἀκουσίως αὐτὰ ἀπολέσαντα[3].

ΤΙΤΛΟΣ ΙΒ'.

Περὶ ἐμφυτεύσεων διηνεκῶν καὶ ἐμπεριγράφων.

α'. Διηνεκεῖς ἐμφυτεύσεις ἀκινήτων δικαίων γίνονται ἐπὶ τελέσματι ἐνιαυσίῳ[1] συμφωνουμένῳ καὶ ἐπιμελείᾳ τε καὶ διορθώσει τῶν ἐκδιδομένων· εἰ δέ τις ἐκ τῶν φροντιστῶν καὶ[2] χαρτουλαρίων καὶ[3] λοιπῶν πρὸς βλάβην ἢ καὶ[4] περιγραφὴν τῆς

[1] A: κατὰ δίπλαν. [2] A: παραθήκην. [3] Ecl. priv. a. XII 3. Ecl. ad proch. m. XIII 1. Proch. XVIII 6 Epanag. γ, ιϛ. XXV Harm. III 9, § 5. 15. Dig. L. 12, 18, 20 (16. 3) C. 1 (4. 34) Inst. 17 (4. 6) ibique Theophilus.

[1] in A. ἐνιαυσίῳ deest. [2] Z: non habet. [3] Z: pro καὶ habet ἤ. [4] Z: καὶ non habet.

πρωτοτύπου δεσποτείας φανῇ ὑπεργαζόμενος[5] τί ποτε[6], οὗτος μὲν παρευθὺς ἐκπιπτέτω ἐκ τοῦ στρατεύματος αὐτοῦ, ἀκυρούσθω δὲ ἡ τοιαύτη ἔκδοσις[7].

β'. Τὸν διηνεκῶς ἐμφυτευσάμενον τὸ ἐνιαυσιαῖον, ἀδιαστρόφως καταβαλλόμενον τέλεσμα καὶ εἰς τὴν τοῦ ἀκινήτου δικαίου ἀγωνιῶντα σύστασίν τε καὶ ἐπιμέλειαν, μὴ ἀποκινεῖσθαι ἐκ τῆς τοιαύτης ἐκδόσεως, ἀλλ' ἐξεῖναι[8] αὐτῷ τὸ δίκαιον τῆς τοιαύτης ἐμφυτεύσεως κληρονόμοις καταλιμπάνειν, δωρεῖσθαί τε καὶ ἐμπροίκιον[9] ἐπιδιδόναι ἢ καθ' ἕτερον τρόπον μετεχχωρεῖν καὶ διαπιπράσκειν· προτίμησιν δηλονότι τῷ πρωτοτύπῳ δεσπότῃ πρὸ διαπράσεως παρέχοντι, τοῦ αὐτὸν τὸ τοιοῦτον ὠνήσασθαι δίκαιον· ἐκείνου δὲ μὴ βουλομένου, ἀπαρεμποδίστως μετὰ δύο μῆνας τῆς τούτου προτροπῆς πιπράσκειν αὐτὸν τοῖς μὴ κεκωλυμένοις προσώποις τά τε ἐμπονήματα καὶ τὸ τῆς τοιαύτης ἐμφυτεύσεως δίκαιον, ἀναγκαζομένου τοῦ πρωτοτύπου δεσπότου ἐπιτηδείους ὄντας τοὺς ἐπεισερχομένους ἐμφυτευτὰς ἐγγράφως εἰσδέχεσθαι· μὴ ποιοῦντά δὲ τοῦτο τὸν ἐμφυτευτὴν ἐκπίπτειν τῆς ἐμφυτεύσεως[10].

γ'. Τοῦ διηνεκοῦς ἐμφυτευτοῦ, εἰ μὲν εὐαγοῦς οἴκου ἐστὶν, ἐπὶ τριετίαν ἀγνωμονοῦντος τὸ ἐτήσιον τέλος ἢ καὶ χεῖρον ποιοῦντος τὸ ἐμφυτευθὲν πρᾶγμα, ἄδειαν ἔχει ἡ δεσποτεία τοῦτον ἐκ τοῦ τοιούτου ἀκινήτου ἐξεῶσθαι[11] δικαίου, τὰ δὲ ὡς εἰκὸς παρ' αὐτοῦ χρεωστούμενα παραχωρεῖν. Εἰ δὲ ἑτέρων τινῶν ἐμφυτευτὴς ὑπάρχει, ἐπὶ τριετίαν ἀγνωμονῶν ἢ ἀμελῶν τοῦ ἐμφυτευθέντος ἀκινήτου δικαίου, καὶ αὐτὸς ἐξεούσθω κατὰ τὸν ὅμοιον τρόπον[12].

δ'. Ἡ τῆς βασιλίδος πόλεως ἁγιωτάτη ἐκκλησία καὶ οἱ τῆς

[5] Z: ἀπεργ. [6] Z: verbum ποτε non habet. [7] Epitom. VII. μα Inst. 3 (3. 24) ib. Theoph. C. 1 et 2 (4. 66) Dig. 1 (6. 3) Cnf. ad Nov. 7 c. 7, 120 c. 5 Harm. III, 4, 9. Theod. VII 7 8. 9 ('Ανέκδ. Zach 17. 18). [8] A: εἶναι. [9] Z: ἐν προικὶ. [10] Ecl. priv. a. XIII 1, 2. Ecl ad proch. m. XIV 1 2. Inst. 3 (3. 24) ibique Theoph. C. 3 (4. 66) Bas. 3 (20. 2). [11] Z: ἐξωθεῖσθαι. [12] Ecl. priv. a. XIII 3 Cnf. Epit. VII λε Athan. II 2. (ed. Heimb. p. 33), C. 2 (4. 66) — Bas. 2 (20. 2), Nov. 7 c. 3 § 2, Nov. 120c. 8, Theodor. Herm. VII 3 (ed. Zach. 17).

περιοικίδος[13] αὐτῆς σεπτότατοι οἶκοι, τό τε ὀρφανοτροφεῖον τὰ πτωχεῖα καὶ[14] οἱ ξενῶνες, κεκώλυνται, πάρεξ τῶν ἐρειπίων τόπων, διηνεκῶς ἐκδιδόναι ἀκίνητον δίκαιον· βασιλικῷ δὲ οἴκῳ ἀνταλλάττειν καὶ μόνῳ· αἱ δὲ ἐν ταῖς ἐπαρχίαις οὖσαι σεπταὶ ἐκκλησίαι τε καὶ μοναστήρια, πρός δέ γε καὶ τὰ τῆς βασιλίδος πόλεως εὐαγῆ μοναστήρια, ἄδειαν ἐχέτωσαν καὶ διηνεκῶς ἐμφυτεύσεις ποιεῖν[15].

ε΄. Αἱ ἐμπερίγραφοι ἐμφυτεύσεις ἐξ οἱουδήποτε εὐαγοῦς τε καὶ βασιλικοῦ οἴκου[16] καὶ ἑτέρου προσώπου γινέσθωσαν ἐπὶ ὀνομαστῷ ἐνιαυσίῳ τελέσματι κατὰ τὰ ἀνωτέρω προκείμενα, μέχρι τριῶν καὶ μόνων προσώπων ἀλλήλοις ἐκ διαθήκης ἢ καὶ ἐξ ἀδιαθέτου διαδεχομένων[17], τὸ ϛ΄ μέρος τοῦ σωζομένου κανόνος ἐν ἀρχῇ τοῦ συναλλάγματος κουφιζομένου· μὴ δυναμένου τοῦ τελευταίου τρίτου προσώπου ἐπανακαινίζειν τὸ ἐμπερίγραφον ἐμφύτευμα, τοῦ μὴ εἰς διειγεκὲς αὐτὸ τῷ τρόπῳ τούτῳ[18] παρεκτείνεσθαι σχῆμα[19].

ϛ΄. Μὴ ἐκλαμβανέτωσαν διηνεκῶς ἢ ἐμπεριγράφως οἱ φροντισταὶ τοῦ ἐκδιδόντος[20] βασιλικοῦ τε ἢ εὐαγοῦς οἴκου ἢ χαρτουλάριοι ἢ διοικηταὶ ἢ συγγενεῖς αὐτῶν, μηδὲ διὰ παρενθέτου προσώπου[21]· ἀλλ᾽ οὔτε ἄρχοντες πολιτικοὶ ἢ στρατιωτικοὶ ἐμφυτεύεσθαι ἢ μισθοῦσθαι δύνανται· μήτε δὲ στρατιωτῶν συναλλάγμασι τοιούτοις ὑπεισερχέσωσθαν, ἢ εἰς ἑτέρας ἰδιωτικὰς χρείας ἀπασχολείσθωσαν, ἢ ἑαυτοὺς παρεμβαλλέτωσαν, μήτε δὲ οἴκοις ἢ κτήσεσί τινων προσεδρευέτωσαν ἢ ὑπουργείτωσαν, ὡς ὑπὲρ τῆς πολιτείας κατὰ τῶν ἐχθρῶν καὶ μόνων ἀγωνίζεσθαι τεταγμένοι[22].

[13] A: περιοικήσεως. [14] Z: non habet. [15] Ecl. priv. a. XIII 4. Epit. VII λη. Nov. 120 c. 6. [16] A: verbum οἴκου omit. [17] Z: διαθέσεως δεχομένων. [18] A: αὐτῷ τῷ τρόπῳ τοῦτο. [19] Ecl priv a XIII 5 Nov. 7 c 3. Theodori brev. Nov CXX ('Ανέκδ. Zach p 121) Athanas. II 2. ('Ανέκδ. Heimb. p. 27). C. 24 § 4 (1. 2). Harm. III, 4, 4. [20] Z: addit μέρους. [21] Epit VII μα, Proch. XV. 6 Nov 120 c. 5. § 1 c. 7 § 1. [22] Ecl. priv. a. XIII 6 Harm. III 4, 9. Proch. XV ϛ΄. Nov. 120. c. 7 § 1 fin. Athan. II. 2. (Heimb. ibid. p. 32—33) Theodor. Hermop. 8. (Zachar. ibid. p. 122).

ΤΙΤΛΟΣ ΙΓ΄.

Περὶ μισθώσεως[1].

α΄. Αἱ μισθώσεις ἔγγραφοί τε καὶ ἄγραφοι ἐπὶ ὀνομαστῷ ἐνιαυσιαίῳ συμφωνουμένῳ τελέσματι καὶ αὗται γινέσθωσαν[2], περαιτέρω τῶν εἴκοσι ἐννέα χρόνων μὴ ἐκτεινόμεναι[3], εἴτε ἐκληπτορικῶς, εἴτε τοῦ μέρους τοῦ δημοσίου, ἢ βασιλικοῦ οἴκου, ἢ εὐαγοῦς τόπου κτημάτων, χωρίων, ἀγρῶν ἢ καὶ λοιπῶν, αἱ τοιαῦται ἐκδόσεις γεγένηνται· καὶ πρὸς τὸ συμφωνηθὲν ἐκ τοῦ ἐκλαμβανομένου καὶ ὁμολογηθὲν ἐνιαυσιαῖον μισθωτικὸν τέλεσμα παρὰ τοῦ ἐκδεδωκότος μέρους εἰσπράττεσθαι, μὴ δυναμένων εἴτε τοῦ ἐκδεδωκότος εἴτε τοῦ ἐκλαμβανομένου[4] μετάμελον μετὰ τὴν μίσθωσιν ἐντὸς ἐνιαυτοῦ προτίθεσθαι[5], ἐὰν ἐκ συμφώνου περὶ τούτου ὀνομαστὶ ἀπετάξαντο[6].

ΤΙΤΛΟΣ ΙΔ΄.

Περὶ μαρτύρων πιστῶν καὶ ἀπροσδέκτων.

α΄. Οἱ μάρτυρες ἢ ἀξίαν ἢ στρατείαν[1] ἢ ἐπιτήδευμα ἔχοντες κατὰ πρόληψιν δεκτέοι τυγχάνουσιν· εἰ δὲ εὑρεθῶσι μάρτυρες ἄγνωστοι καὶ ἀμφισβητεῖται τὰ[2] τῆς αὐτῶν μαρτυρίας,

[1] Z: μισθώσεων. [2] Z: γενέσθωσαν. [3] Cnf. ad Theodor. Hermop. CXX 6. (Ἀνέκδοτα Zach. 121). Nov. 120 c. 3. [4] Z: ἐκλαμβάνοντος. [5] A: προστίθεσθαι. [6] Proch. a. XVIII 36. Ecl. priv. a. XIV 1, Ecl. ad proch m. XV. 1. C. 34 (4. 65). — Bas. 95 (20. 1).

[1] A: στρατιάν. [2] A: omittit.

κανονιζέτωσαν οἱ δικασταὶ καὶ διὰ βασάνων ἐρχέσθωσαν πρὸς αὐτούς, ὅπως τῆς ἀληθείας[3] κατάληψιν εὕρωσιν[4].

β'. Ὁ δι' αἰσχρότητα τῆς συγκλήτου ἀποκινηθεὶς καὶ μὴ ἀποκαταστάς, οὔτε δικάζεται, οὔτε μαρτυρεῖ[5].

γ'. Κεκανόνισται μὲν πανταχοῦ τὸν οἰκέτην μὴ δύνασθαι μάλιστα κατὰ τοῦ δεσπότου κινεῖν δικαστήριον, μόλις δὲ ὅμως ἐκ φανερῶν αἰτιῶν, καὶ αὐτῶν ὡρισμένων τῷ νόμῳ, συγκεχώρηται τοῖς οἰκέταις φωνὴν ἐν δικαστηρίῳ κατὰ τῶν δεσποτῶν αὐτῶν ἀφιέναι· οἷον, ἐὰν διαθήκην κρύπτωσιν, ἐν ᾗ ἐλευθερία αὐτοῖς κατελείφθη, ἢ εὐθηνίαν ἀδικοῦσι τοῦ κοινοῦ τῶν ρωμαίων, ἢ τὸν κένσον περιγράφωσιν ἢ παραχαράττωσιν, ἐὰν ἰδίοις νομίσμασιν ἑαυτοὺς ἀγορασθέντας λέγωσι καὶ μὴ ἐλευθερωθέντας, ἢ ἐὰν ἐκελεύσθησαν ἐλευθερωθῆναι[6].

δ'. Οἱ γονεῖς καὶ τὰ τέκνα κατ' ἀλλήλων λέγοντες μὴ προσδεχέσθωσαν[7].

ε'. Μήτε ὑπὲρ δεσπότου μήτε κατὰ δεσπότου δοῦλος ἢ ἀπελεύθερος μαρτυρείτω[8].

ϛ'. Μὴ ἀναγκαζέσθω τις καθ' ἑαυτοῦ παράγειν μάρτυρας[9].

ζ'. Οἱ μάρτυρες ἐπὶ τῶν δικαστῶν εἰς μαρτυρίαν ἀγόμενοι, πρῶτον μὲν ἄνευ ὅρκου ἐπὶ δυσὶν ἢ τρισὶν ἀνακρίσεσι τὰ τῆς εἰδήσεως αὐτῶν λεγέτωσαν, καὶ ἐὰν περὶ τοῦ[10] ζητουμένου εὑρεθῶσι λέγοντες τίποτε, τότε ὀμνύτωσαν[11].

η'. Οἱ μακρὰν διάγοντες μάρτυρες ἐν ταῖς χρηματικαῖς ὑπο-

[3] Z: τὴν τῆς ἀληθείας. [4] Dig. 2 et 3 (22. 5) Bas 2 et 3 (21. 1) Athanasii scholast. V 5. (Heimb. 'Ανέκδ. I 75), Nov. 90 c. 1. Ecl. priv. a. XV 1. Ecl. ad proch. m. XVI 3. Proch. XXVII 1 Harm. I, 6, 1. L. 21 § 2 D. (22. 5). Basil. 20. (21. 1). [5] Haec § tota deest apud Z. Dig. 2 (1. 9)—Bas. 2 (6. 1). [6] Haec § deest apud Z: C. 8 (4. 20) — Basil. 32 (21. 1) cum sch. [7] Ecl. priv. a. XV 3 Ecl. ad proch. m. XVI 4, Epit. XIII κε'. Dig. 9 (22. 5). [8] Deest in A. Cnf. Ecl. priv. a. XV 6 Proch. XXVII κη Nov. 90 c. 6. Harm. I 6. 41 Epitom. XIII κθ. [9] Deest in A. Cnf. Ecl. priv. a. XV 4. Proch. XXVII λα Harm. I 6, 47. C 7 (4. 20) Σύνοψις Attal. ΙΓ ιγ Basil. 31 (21. 1) Epit. XIII κζ. [10] A: non habet. [11] Ecl. priv. a. XV 5 Ecl. ad proch. m. XVI 7. C. 9 (4.20) Bas. 33 (21.1) Matt Blast. Δ κ. (S. VI 228).

θέσεσι κατὰ τὸν τόπον μὴ ἀναγκαζέσθωσαν παραγίνεσθαι, ἀλλὰ δι' ἐντολέων[12] πρὸς αὐτοὺς στελλομένων τὰ τῆς εἰδήσεως αὐτῶν μαρτυρείτωσαν[13].

θ'. Ἐάν τις μάρτυρα ἐν ἰδίῳ πράγματι παραγάγῃ, τὸν δὲ αὐτὸν μάρτυρα ἕτερον πρόσωπον ἐν ἄλλῳ κεφαλαίῳ κατ' αὐτοῦ ἀγάγῃ, τὸν τοιοῦτον κατ' ἐκείνου παραγόμενον μὴ παραγράφεσθαι[14], εἰ μήπω φανῇ ὡς ἔχθρα τελευταῖον παρηκολούθησε μεταξὺ αὐτῶν, ἢ δόσις ἢ καὶ ὑπόσχεσις πρὸς ὑποφθορὰν τοῦ πράγματος τῷ μάρτυρι γέγονε[15].

ι'. Ἐάν τινες ἐκ συμφωνίας παρὰ κοινοῖς εὑρισκόμενοι δικασταῖς καὶ λαμβάνοντες φωνὴν μὴ ἐμμείνωσιν, ἀλλὰ πάλιν εἰς ἕτερον θελήσωσιν ἀπελθεῖν δικαστήριον, τοὺς πρώην ἐπὶ τῷ κεφαλαίῳ αὐτῶν[16] παραχθέντας μάρτυρας μὴ παραγράφεσθαι. Εἰ δὲ καὶ συνέβη[17] τοὺς αὐτοὺς μάρτυρας τελευτῆσαι, τὰς τούτων φωνὰς τοὺς προτέρους δικαστὰς δι' ὅρκου φανεροποιεῖν. Καὶ εἰ μὲν ὁ τῇ προγενεστέρᾳ φωνῇ μὴ ἐμμείνας παρὰ τοῖς ἐσχάτοις δικασταῖς εὑρισκόμενος ἐκνικήσει, ἔστω ἀνέγκλητος· εἰ δὲ πάλιν καὶ παρ' ἐκείνων[18] καταχριθῇ καὶ φανῇ ἀδίκως ἐνσύρων τὸν ἀντίδικον αὐτοῦ, τό, ὡς εἰκός, παρὰ τῶν προτέρων δικαστῶν ὁρισθὲν πρόστιμον παρεχέτω τῷ ἐμμείναντι· εἰ δὲ καὶ πρόστιμον οὐχ ὥριστο μεταξὺ αὐτῶν, διδότω τὴν συντριβὴν αὐτοῦ ἢ ἄλλην ὑπομενέτω, οἵαν οἱ δικασταὶ συνείδωσιν ἐπεξέλευσιν[19].

ια'. Οἱ μάρτυρες ἀκοῇ[20] μὴ προσμαρτυρείτωσαν, λέγοντες ὡς ἠκούσαμεν ἔκ τινος τόνδε χρεωστεῖν ἢ τόνδε καταβαλέσθαι[21], κἂν εἰ[22] ταβουλάριοι ὦσιν οἱ ταῦτα μαρτυροῦντες[23].

[12] Z: δι' ἐντολῶν. [13] Ecl. priv. a. XV 10 Ecl. ad proch. m. XVI 8. C. 16 (4. 20). Bas. 40 (21. 1). [14] Epit. XIII ιε. C. 17 (4. 20). [15] Ecl. priv. a. VX 13 Proch XXVII ιε Harm. I 6, 24 C. 17 (4. 20). [16] A: αὐτῷ. [17] Z: συμβῇ. [18] Z: παρ' ἐκείνοις. [19] Ecl. priv. a. XV 14. C. 20 (4. 20) — Bas. 44 (21. 1). [20] A: ἀκοήν. [21] A: καταβάλλεσθαι. [22] Z: non habet. [23] Ecl. priv. a. XV 15 Theod Hermop. (Ἀνεκδότων Heimbachii 243, Ἀνεκδ. Zachariaei pag. 89). Nov. 90 c. 2. Athan. ibid. (Ἀνέκδ. Heimb. pag. 75).

ιβ'. Ἐν ἐκμαρτυρίῳ μὴ πιστευέσθω ταβουλάριος, ἐὰν ὁ δανεισάμενος γράμματα γινώσκων καὶ δυνατῶς ἔχων ἐν τῇ χρέους ὁμολογίᾳ ὑπογράψαι ἐξ ἰδιοχείρου μὴ ὑπογράψῃ[24].

ιγ'. Ἐπὶ τῶν ἐγκλημάτων πάντως[25] παρὰ τῷ ἀκροωμένῳ τῆς ὑποθέσεως δικαστῇ παραγενέσθωσαν οἱ μάρτυρες[26].

ιδ'. Οἱ μάρτυρες ὁσοιδήποτε ἀριθμῷ ὦσι, μέχρι τεσσάρων καὶ μόνον ταξειδίων ἀγέσθωσαν, ἑκάστης παραγωγῆς μίαν ἡμέραν λαμβανούσης[27]· εἰ δὲ πρὸ τῆς τετάρτης παραγωγῆς ἀποτάξηταί τις[28] παράγων καὶ τὰ μεμαρτυρημένα ἐκδοθῶσι, μετὰ τοῦτο μὴ παράγειν αὐτὸν ἕτερον μάρτυρα, ἀλλ' ἐμμένειν ταῖς τῶν παραχθέντων[29] μαρτύρων φωναῖς[30].

ιε'. Ὁ τὴν οἰκείαν ἰδιόχειρον τοῦ χρέους συγγραφὴν ἀρνούμενος, ἢ καὶ τὰ οἰκεῖα[31] γράμματα συντιθέμενος, ἀρνεῖται δὲ τὴν καταβολὴν τῆς ποσότητος, ὡς ἐντεῦθεν[32] ἀναγκασθῆναι τὰς συστάσεις ποιεῖν τῶν ἐποφειλομένων[33], μετὰ ἀπόδειξιν τῆς ἀληθείας διπλῇ ποσότητι ὁ ἀρνησάμενος τὸ χρέος[34] καταδικαζέσθω[35].

ιϛ'. (Ἐκ τοῦ παλαιοῦ νόμου περὶ μαρτύρων ἐκ τοῦ κώδικος τίτλος κ διάταξις θ'). Ὀμνυέτωσαν πρὸ τῆς μαρτυρίας οἱ μάρτυρες, καὶ μάλιστα οἱ τιμιώτεροι προσδεχέσθωσαν· εἷς δὲ μόνος μαρτυρῶν ἐκβαλλέσθω, κἂν τύχῃ ὢν βουλευτής[36].

---

[24] Haec § tota deest apud Z. Est Ecl. priv. a. XV 17 Theod. Herm. (Ἀνέκδ. Heimbachii p. 244) Nov. 90 c. 3. Athan. ibid. [25] A: πέντε. [26] Ecl. priv. a. XV 18 Harm. I 6, 5. Theod. Herm. (Ἀνέκδοτα Heimbachii p. 245) Nov. 90 c. 5 Athan. ibid. [27] A: ἕκαστος παραγωγὴν μιᾶς ἡμέρας. [28] Z: ὁ παράγων. [29] A: πραχθέντων. [30] Nov. 90 c. 4. Athanas. ibid. Ecl. priv. a. XV 20. Ecl. ad. proch. m XVI 10. [31] Z: addit μέν. [32] A: ἔνθεν. [33] A: τὸν βουλόμενον. [34] Z: τοῦ χρέους. [35] Ecl. priv. a. XV 21, Ecl. ad proch. m. XVI 17. Proch. XVI ιϛ. Harm. I. 8, 14. Nov. 18 c. 8. Epit. XIII λα. [36] Haec § apud Z deest. Harm. I. 6, 21, L 9 C. (4. 20) Basil. 33 (21. 1). Append. Ecl. X in Ἀνέκδ. Zach. p. 187. Matt. Blast. Δ. ε. (S. VI 228).

ΤΙΤΛΟΣ ΙΕ΄.

Περὶ διαλύσεως[1].

α΄. Ἡ διάλυσις ἐγγράφως δι' ὑπογραφῆς τριῶν μαρτύρων γινέσθω[2].

β΄. Ἐάν τις τῶν ἐντελῶν χρόνων μὴ ὢν διάλυσιν ποιήσῃ πρός τινα καὶ διὰ τὴν τῶν χρόνων ἴσως ἀτέλειαν καταφρονηθῇ ἢ καὶ δι' ἑτέραν αἰτίαν[3] τὴν οἱανοῦν παραβλαβῇ, καὶ εἰς τὴν τῶν εἴκοσι πέντε χρόνων ἐντέλειαν καταντῶν διαγνῷ τὴν προσγινομένην αὐτῷ βλάβην, ἄδειαν ἐχέτω παρὰ δικασταῖς κινεῖν τὰ τῆς ὑποθέσεως καὶ τῆς ἀδικίας· καὶ τῆς ἀδικίας[4] ἀποδεικνυμένης φυλαττέσθω τούτῳ τὸ δίκαιον· εἰ δὲ[5] τὰ τῆς ἀδικίας ἀποδεῖξαι μὴ δυνηθῇ, βεβαίαν εἶναι τὴν τοιαύτην διάλυσιν[6].

γ΄. Εἰ δὲ καί τις μείζων τῶν εἴκοσι πέντε ἐτῶν ὑπάρχων διὰ φόβον ἐξουσίας χειρὶ ἢ καὶ δόλῳ[7] τῷ οἱῳδήποτε εὑρεθῇ πεποιηκὼς διάλυσιν καὶ τοῦτο παρὰ ἀκροαταῖς ἀποδειχθῇ, τὴν τοιαύτην διάλυσιν ἀνατρέπεσθαι καὶ ἐξ ὑπαρχῆς τὸ κατ' αὐτὸν ζητεῖσθαι κεφάλαιον[8].

---

[1] Z: addit κυρουμένων ἢ ἀνατρεπομένων. [2] Proch. a. XXI 3. Ecl. ad proch m. XVII 1. Nov. 73 c. 1, 2, 4, 5. Athan. XIV 3 (Ἀνέκδ. Heimb. 150). Theod. LXXIII 1 (Ἀνέκδ. Zach. 73). [3] A: non habet. [4] Z: verba καὶ τῆς ἀδικίας non repetit. [5] Z: καὶ addit. [6] Ecl. ad proch. m. XVII 2. Dig. 11 § 3 (4 4) — Bas. 11 (10, 4). [7] Z: λόγῳ. [8] Proch auctum XVII 4. C. 13 (2. 4) — Bas. 30 (11. 2). Dig. 3 (4. 6) — Bas. 3 (10. 35).

ΤΙΤΛΟΣ ΙϚ΄.

Περὶ στρατιωτικῶν ἰδιοκτήτων πραγμάτων καὶ κανστρεσίων καὶ κερδῶν [1] καὶ περὶ κληρικῶν καὶ χαρτουλαρίων [2].

α΄. Στρατιωτικὰ πεκούλια εἰσίν, ἅπερ στρατιῶται ὑπεξούσιοι ὄντες πατρί τε καὶ πάππῳ ἐκ τοῦ στρατιωτικοῦ αὐτῶν τάγματος [3] ἐπικτήσονται, εἰς ἃ διατίθεσθαι δύνανται καὶ ἐν σεδέτοις διάγοντες, δηλονότι μετὰ τῆς προαναφερομένης περὶ [4] τῶν ἐντελῶν διαθηκῶν παρατηρήσεως· δαπανωμένου δὲ διὰ τῆς βουλήσεως αὐτῶν τοῦ τοιούτου πεκουλίου, μὴ δύνασθαι τοὺς κληρονόμους αὐτῶν ἐκ τοῦ τοιούτου πεκουλίου τὴν νόμιμον μοῖραν ἀπαιτεῖν, ἀλλ᾽ ἐν ἐξουσίᾳ αὐτοὺς [5] εἶναι τὸ τοιοῦτον δωρεῖσθαι ἢ διὰ βουλήσεως αὐτῶν καταλιμπάνειν ἐντελῶς πεκούλιον· καὶ μετὰ τὴν τελευτὴν δὲ τῶν ἑαυτῶν γονέων μὴ ὡς πατρῷον αὐτῶν [6] συνεισάγεσθαι ἢ διαιρεῖσθαι, ἀλλ᾽ ἐν ἐξαιρέτῳ τοῖς ἰδικοῖς αὐτῶν [7] καὶ μόνον γνωρίζεσθαι προσώπων [8].

β΄. Εἰ δὲ καταλειφθῶσιν ἀδελφοὶ μετὰ [9] τελευτὴν τῶν γονέων αὐτῶν, καί τις ἐξ αὐτῶν στρατευθῇ, ὁ δὲ [10] ἕτερος μείνῃ ἐν τῷ οἴκῳ, εἰ μὲν σύμφωνα [11] ποιήσουσι μετ᾽ ἀλλήλων, τὰ μεταξὺ αὐτῶν στοιχηθέντα κρατείτωσαν· εἰ δὲ ἀστοιχήτως τοῦτο ποιήσουσι καὶ μέχρι δεκαετίας, μετὰ τὸ στρατευθῆναι ἕνα ἐξ αὐτῶν, συζήσουσι, πάντα τὰ ἐπικτηθέντα αὐτοῖς, εἴτε ἀπὸ ῥόγας, εἴτε ἀπὸ καμάτου [12] τοῦ κοινοῦ αὐτῶν οἴκου καὶ σπουδῆς τοῦ ἐν τῷ οἴκῳ μείναντος ἀδελφοῦ ἢ ἀδελφῶν, ἐξ ἴσης καὶ ἐπ᾽ ἴσης [13] μοίρας κομίζεσθαι αὐτούς· μετὰ δὲ τὴν δεκαετίαν ἕως ἑτέρων

[1] Z: post κερδῶν addit ὑπεξουσίων αὐτῶν τυγχανόντων. [2] Z: addit καὶ ἑτέρων στρατευομένων. [3] A: πράγματος. [4] Z: non habet [5] Z: αὐτῶν. [6] Z: αὐτό. [7] Z: ἰδίοις αὐτό. [8] Ecl. priv. a. VI 1. Ecl. ad proch. m. VII 1. Inst. pr. (2. 12). Dig. 11 (49. 17) 1 § 15 (37. 6). C. 4 (3. 36) Basil. 10 et 11 (57. 2) 1 (41. 7). Proch. XXII. Harm. V 2. [9] Z: addit τήν. [10] Z: καὶ ὁ. [11] Z: συμφωνον. [12] Z: καμάτων. [13] Z: ἐξ ἴσου καὶ ἐπ᾽ ἴσου.

τριῶν χρόνων συζώντων αὐτῶν μετ' ἀλλήλων, καὶ μετὰ τοῦτο συμβῇ αὐτοὺς ἀπ' ἀλλήλων διαιρεθῆναι, ἐπαίρειν τὸν στρατιώτην ἐξαιρέτως τὸν ἵππον αὐτοῦ σὺν τῷ σελλοχαλίνῳ καὶ τῷ ἅρματι αὐτοῦ, καὶ ἐάν, ὡς εἰκός, ἐπεκτήσατο λωρίκον καὶ μόνον, τὰ δὲ λοιπὰ πάντα μερίζεσθαι αὐτοὺς ἀδελφικῶς ἐξίσου καὶ ἐπ' ἴσης μοίρας· εἰ δὲ καὶ ἐπέκεινα τῶν ιγ χρόνων συζήσουσι μετ' ἀλλήλων[14], καὶ εὑρεθῇ τί ποτε ἐκ τῶν μετὰ ταῦτα ρογῶν αὐτοῦ ἐπικτησάμενος καὶ σώζεται, καὶ τοῦτο κομίζεσθαι αὐτόν· τὰ δὲ προνοίᾳ θεοῦ ἐπικτηθέντα αὐτῷ ἐκ πρώτης ἡμέρας τοῦ αὐτὸν στρατευθῆναι ἀπό τε σκύλων καὶ φιλοτιμιῶν καὶ σώζονται, καὶ ταῦτα ὁμοίως ἔχειν αὐτὸν ἐν ἐξαιρέτῳ[15].

γ'. Κληρικοὶ καὶ χαρτουλάριοι ἢ καὶ ἕτεροί τινες[16] ἐκ γονικῆς στρατευόμενοι ὑποστάσεως, εἰ μὲν τελευτῶντες οἱ τούτων γονεῖς θελήσουσι ταῦτα χαρίσασθαι αὐτοῖς, κυρούσθω τούτων ἡ βούλησις· εἰ δὲ μηδὲν περὶ τούτου εἰπόντες τελευτήσουσι, καὶ τὴν περὶ τῆς τοιαύτης ποσότητος κίνησιν ποιήσουσι[17] τῷ στρατευθέντι οἱ συγκληρονόμοι αὐτοῦ, λογίζεσθαι αὐτοὺς τὰ[18] ἀπὸ τῆς τοιαύτης στρατείας προελθόντα εἰς τὸν ἑαυτῶν πατέρα καὶ τὸ περιττεῦον ἐκ τῆς δοθείσης ποσότητος εἰς τὸ τοιοῦτον στράτευμα συνεισφέρεσθαι τῇ λοιπῇ ὑποστάσει καὶ συνδιαιρεῖσθαι. Εἰ δέ, ὡς εἰκός, ἐπληρώθη διὰ τοῦ τοιούτου στρατεύματος ἡ δοθεῖσα ποσότης, μὴ ἔχειν ἄδειαν τοὺς συγκληρονόμους τὸ τὸ τοιοῦτον στράτευμα ἔχον πρόσωπον ἐπιζητεῖν ἕνεκεν τῆς γενομένης ἐξόδου ὑπὲρ αὐτοῦ τὸ εἰτιοῦν[19] διὰ τό, ὡς εἴρηται, ἀντεισαγωγὴν ἐκ τοῦ τοιούτου στρατεύματος γενέσθαι[20].

δ'. Ἐπὶ δὲ τῶν λοιπῶν στρατευομένων, ὅσα ἐκ βασιλικῆς ρόγας ἀννόνων τε καὶ σολεμνίων τούτοις προσενεμήθησαν, του-

[14] A: verba καὶ μετὰ — μετ' ἀλλήλων desunt in A. [15] Z: ἐξαιρέτως. Ecl. priv. a VI 2. Ecl. ad proch m: VII 2. Epit. XXXIV με'. Harm. V 2, 2. 6. [16] Z: addit ἐν οἱῳδήποτε τάγματι. [17] Z: ποιήσουσι κίνησιν. [18] A: καί. [19] Z: ὁτιοῦν. [20] Ecl. priv. a. VI 3. Ecl. ad proch. m. VII 3. C. 34 (1. 3) Nov. 123 c. 19. Cnf. Photii Nomoc. X 5. Theodor. CXXIII 44. (Ἀνέκδ. Zach. 128).

τέστιν ἀξιωματικοῖς καὶ λοιποῖς ἅπασι κομιζομένοις ἢ[21] ἀπὸ βασιλικῆς χειρὸς ρόγας ἢ ἀπὸ δημοσίου ἀννόνας καὶ συνηθείας, οὗτοι μὲν οὖν[22] ἅπαντες ἄνευ μέντοι τῶν στρατιωτῶν ἐπὶ τοῖς τοιούτοις πεκουλίοις διατιθέμενοι, παῖδας μὲν ἔχοντες μέχρι τεσσάρων τὸν ἀριθμὸν τὴν νόμιμον, ἤγουν τὴν τρίτην μοῖραν, τοῦ αὐτῶν πεκουλίου καταλιμπανέτωσαν· εἰ δὲ καὶ πέντε καὶ ἐπέκεινα, τὸ ἥμισυ αὐτοῦ μέρος· εἰ δὲ παῖδας οὐκ ἔχουσιν, ὕπεισι δὲ αὐτοῖς γονεῖς, τὴν εἰρημένην τρίτην μοῖραν καταλιμπανέτωσαν· εἰς δὲ τὸ ὑπόλοιπον μέρος[23] τοῦ αὐτοῦ πεκουλίου κατὰ τὸ δοκοῦν αὐτοῖς διατιθέσθωσαν[24].

ε΄. Παγανικὰ δὲ πεκούλια τῶν ὑπεξουσίων εἰσίν, ὅσα παρὰ τῶν γονέων αὐτῶν πρὸς κόσμον καὶ τιμὴν ἐδόθησαν αὐτοῖς ἢ ἐπεκτήθησαν, ἃ[25] καὶ ὡς γονικὰ γνωρίζονται καὶ μετὰ τελευτὴν τῶν γονέων τῇ λοιπῇ αὐτῶν ὑποστάσει ἑνοῦνται καὶ συνδιαιροῦνται, ὥσπερ καὶ τὰ ἀπὸ χρημάτων ἢ πραγμάτων τοῦ πατρὸς ἐπικτηθέντα τῷ υἱῷ τῇ πατρῴᾳ ὑποστάσει γνωρίζονται καὶ αὐτῇ συνενοῦνται. Ἐπὶ γὰρ τοῖς μητρῴοις αὐτῶν ἢ ἐξ ἱδρώτων καὶ καμάτων ἢ κληρονομίας περιαχθεῖσιν εἰς αὐτοὺς πράγμασιν, ἐπ' αὐτοῖς μὲν οὐ διατίθενται, τὴν δὲ χρῆσιν αὐτῶν καὶ μόνον ἔχουσιν οἱ τούτους ἔχοντες ὑπεξουσίους, τὴν δεσποτείαν τῶν τοιούτων πραγμάτων φυλάττοντες αὐτοῖς[26].

---

[21] Z: non habet. [22] Z: non habet. [23] Z: μέτρον. [24] Ecl. priv. a. VI 4. Ecl. ad proch. m. VII 4. C. 7 (6, 61). Nov. 18 c. 1. Bas. 2 (41. 4). Athan. IX. 2 ('Ανέκδ. Heimb. 98). Theodor. XVIII 1 ('Ανέκδ. Zach. 28). [25] Z: ἅτινα. [26] Ecl. priv. a. VI 5. Inst. pr. § 1 (2. 9). ibique Theoph. C. 2. 6. pr. 8 pr. (6. 61). Nov. 117. c. 1. Harm. V 2, 5.

ΤΙΤΛΟΣ ΙΖ΄.

Ποινάλια τῶν ἐγκλημάτων[1].

α΄. Μηδεὶς τὸν ἐν ἐκκλησίᾳ προσφεύγοντα βίᾳ ἀφαιρείσθω, ἀλλὰ τὴν αἰτίαν τοῦ πρόσφυγος[2] δηλοποιείτω τῷ ἱερεῖ, καὶ παρ᾽ αὐτοῦ μετὰ τῶν ἀσφαλῶν παραλαμβανέτω τὸν προσφεύγοντα τοῦ νομίμως ζητηθῆναι καὶ διοικηθῆναι τὸ κατ᾽ αὐτὸν κεφάλαιον· εἰ δέ τις δοκιμάσει χειρὶ ἀπὸ ἐκκλησίας πρόσφυγα[3] ἐπάραι τὸν οἱονδήποτε, ὁ τοιοῦτος δώδεκα ἀλλακτὰ λαμβανέτω καὶ τότε κατὰ τὸ πρέπον τὸ τοῦ αὐτοῦ πρόσφυγος[4] ζητείσθω κεφάλαιον[5].

β΄. Ὁ ἐκ δικαστικῆς ψήφου ἢ καὶ ἐπὶ μαρτυρίᾳ[6] παραγόμενος ἢ ἐξ ἐπαγωγῆς ἀντιδίκου ἐφαπτόμενος τῶν ἁγίων τοῦ θεοῦ εὐαγγελίων καὶ[7] ὀμνύμενος[8], ἐπίορκος δὲ μετὰ ταῦτα ἀποδεικνύμενος, γλωσσοκοπείσθω[9].

γ΄. Ὁ κατὰ βασιλέως φατριάζων ἢ βουλευόμενος, ἢ συνωμοσίας κατ᾽ αὐτοῦ ἢ τῆς πολιτείας τῶν χριστιανῶν ποιῶν, τὸν μὲν τοιοῦτον ἥρμοζε κατ᾽ αὐτὴν τὴν ὥραν[10] θανατοῦσθαι, ὡς τὴν τοῦ παντὸς κατάλυσιν μελετήσαντα· ἀλλ᾽ ἵνα μή τινες ἐχθρωδῶς πολλάκις διακείμενοι πρός τινα[11] ἀκρίτως φονεύσωσιν, ἀπολογίαν ἐσχάτην[12] προσφέροντες ὡς κατὰ τῆς βασιλείας ἐλάλησε, δέον τὸν τοιοῦτον κατὰ τὸν τόπον ὑπὸ στερεὰν φυλακὴν γίνεσθαι[13], καὶ τὰ περὶ αὐτοῦ[14] τῷ βασιλεῖ ἀναφέρε-

[1] Z: ἐγκληματικῶν κεφαλαίων. [2] Z: προσφύγου. [3] Z: πρόσφυγον. [4] Z: προσφύγου. [5] Ecl. priv. a. XVII 1. Ecl. ad proch. m. XVIII 1. Proch. a XXXIX 243 244 Epan. a LIII 2. Proch. XXXIX ζ. Harm. II 9, 3 C. 2, (9. 29) — Basil. 18 (60. 45). [6] A: μαρτύρων. [7] A: non habet. [8] Z: ἐπομνύμενος. [9] Ecl. priv. a. XVII 2. Ecl. ad proch. m· XVIII 2. Epan. a. LII 39. Proch. XXXIX μς΄. Harm. I, 7, 19. Cnf. ad Nov. 124 c. 2. Matthei Blastaris Synt. E, λ6 (S. VI 288 et 293) Photii Nomoc. XIII 18 cum sch. [10] Z: κατὰ τὴν ὥραν. [11] A: τινας. [12] Z: ἐσχάτως. [13] Z: γενέσθαι. [14] Z: τούτου.

σθαι καὶ καθὼς λοιπὸν αὐτὸς ἀνακρίνῃ καὶ βουλεύσηται ποιεῖ[15].

δ'. Ὁ ἱερέα[16], εἴτε ἐν ἐκκλησίᾳ, εἴτε ἐν ἀγρῷ[17], εἴτε ἐν λιτῇ τύψαι ἐπιχειρῶν[18], τυπτόμενος ἐξοριζέσθω[19].

ε'. Ὁ πρᾶγμα ἔχων μετά τινος καὶ μὴ τῇ ἀρχῇ προσφωνῶν, ἀλλ' αὐτοβούλως εἴτε κατ' ἐξουσίαν ἢ καί τινα δυναστείαν χειρὶ ἐπιβαίνων καὶ ἐπαίρων τὸ ὁτιοῦν, εἰ μὲν κατὰ ἀλήθειαν ἴδιον ζητῶν τοῦτο ἐποίησεν, ἐκπιπτέτω τοῦ ἰδίου πράγματος καὶ ἀναδιδότω αὐτό· εἰ δὲ καὶ ἀλλότριόν τι ἐπῆρεν[20], ὑπὸ μὲν τοῦ κατὰ τόπον ἄρχοντος δερέσθω[21] ὡς μὴ ἀρχόμενος καὶ ἑαυτοῦ γενόμενος ἔκδικος, καὶ οὕτω τὴν ἀποκατάστασιν ποιείσθω οὗπερ ἀφείλετο[22] [23].

ϛ'. Οἱ ὑπὸ τῶν πολεμίων χειρωθέντες καὶ τὴν ἀμώμητον ἡμῶν τῶν χριστιανῶν πίστιν ἀπαρνησάμενοι, ὑποστρέφοντες ἐν τῇ πολιτείᾳ τῇ ἐκκλησίᾳ παραπεμπέσθωσαν[24].

ζ'. Ἐὰν χρήσηταί τις ἵππῳ[25] ἕως ὡρισμένου τόπου[26], ὑπὲρ δὲ τὸν ὁρισθέντα τόπον τοῦτον ἀπενέγκῃ ἢ πέμψῃ, τήν, ὡς εἰκός, γινομένην[27] ἐπ' αὐτῷ βλάβην ἢ θάνατον τὸν χρησάμενον ὁρᾶν καὶ τὸ ἀζήμιον ποιεῖσθαι τῷ κυρίῳ τοῦ ἵππου[28].

η'. Ὁ ἀποκλείσας ἀλλότρια θρέμματα καὶ λιμῷ διαφθείρας ἢ ἄλλως πως ἀνελών, εἰς τὸ διπλάσιον καταδικάζεται[29].

θ'. Ἐὰν κριοὶ ἢ βόες συνέλθωσι μετ' ἀλλήλων, εἰ μὲν ὁ πρῶτος ἐπελθὼν φονευθῇ, οὐκ ἐνάγεται ὁ κύριος τοῦ φονεύσαντος· εἰ δὲ καθ' οὗ ἐπῆλθεν ἀποθάνῃ, ἐνάγεται ὁ κύριος τοῦ φο-

15 Ecl. priv. a. XVII 4. Ecl. ad proch. m. XVIII 3. Proch. XXXIX ι. L. 5 (9. 8) — Bas. 18 (60. 36) cum sch. § 3 Inst. (4. 18) Harm. VI 14, 2. 16 A: ἱερεῖ. 17 Verba εἴτε ἐν ἀγρῷ. Z: omittit. 18 A: ἀπὸ χειρῶν. 19 Ecl. priv. a. XVII 24. Ecl. ad proch. m. XVIII 5. Nov. 123 c. 31 — Basil. 47 (3. 1) Matt. Blastaris Synt. T. ια (S. VI p. 480). 20 Z: ἀπῆρεν. 21 Z: δαιρέσθω. 22 Z: ἀπείληφεν. 23 Ecl. priv. a. XVII 33. Ecl. ad proch. m. XVIII 6. Epit. XL α, 6, ε. Proch. XXXIX μθ. Harm. VI 7, 5 l. 7. C. (8. 4) — Basil. 55 (50. 3). 24 Ecl. priv. a. XVII 36. 25 A: ἵππον. 26 A: ὡρισμένον τόπον. 27 Z: γενομένην. 28 Proch. α. XXXIX 150. Ecl. priv. a. XVII 54. Ecl. ad proch. m. XV 12. Proch. XXXIX ν. Harm. II 10, 3 et VI 14. 11. l. 5 § 7 l. 23 Dig. (13. 6) — Basil. 5 et 23 (13. 1). 29 Ecl. priv. a. XVII 53. Proch. XXXIX να. Harm. VI 14, 14. l. 5 C. (3. 35) — Basil. 2 (60. 3).

νεύσαντος[30], καὶ ἢ ἐκδίδωσι τὸ ζῶον τὸ φονεῦσαν τῷ κυρίῳ τοῦ ἀποθανόντος ἢ τὸ ἀζήμιον τῷ βλαβέντι ποιείτω[31].

ι'. Ὁ κλέπτων ἐν φοσσάτῳ ἤτοι ἐν ἐξπεδίτῳ[32], εἰ μὲν ὅπλα, τυπτέσθω, εἰ δὲ ἄλογον χειροκοπείσθω[33].

ια'. Ὁ κλέπτων ἐν ἑτέρῳ τόπῳ τῆς πολιτείας, ἐν πρώτοις μὲν τοῦτο ποιῶν, ἐὰν ἐλεύθερός ἐστι καὶ εὐπορῇ, πρὸς τῇ ἀποκαταστάσει[34] τοῦ κλαπέντος μετὰ τοῦτο διπλῆν τὴν τοῦ κλαπέντος τιμὴν[35] παρεχέτω· εἰ δὲ ἄπορός ἐστι, τυπτέσθω καὶ ἐξοριζέσθω· δεύτερον δέ, χειροκοπείσθω[36].

ιβ'. Ὁ τοῦ κλέπτου δούλου κύριος, εἰ μὲν βούλεται ἔχειν τὸν αὐτὸν[37] οἰκέτην, τὸ ἀζήμιον ποιείτω τῷ κλαπέντι[38], μὴ βουλόμενος δὲ ἔχειν τὸν αὐτὸν[39] οἰκέτην, τοῦτον ἀποδιδότω εἰς τελείαν δεσποτείαν τῷ τὴν κλοπὴν ὑπομείναντι[40].

ιγ'. Ὁ ἀλλοτρίας ἀγέλης τῆς οἱασδήποτε ἀπελασίαν ποιούμενος, ἐν μὲν πρώτοις[41] τοῦτο ποιῶν, τυπτέσθω· δευτερεύων δέ[42], ἐξορίᾳ παραπεμπέσθω· τρίτον δέ, χειροκοπείσθω[43]· ὀφειλόντων δηλονότι τῶν παρ' αὐτοῦ ἀπελαυνομένων τῇ ἰδίᾳ ὑποκεῖσθαι[44] δεσποτείᾳ[45].

ιδ'. Οἱ τοὺς νεκροὺς ἐν τοῖς τάφοις ἐκδύοντες, χειροκοπείσθωσαν[46].

[30] Verba εἰ δὲ—φονεύσαντος A: omittit. [31] Ecl. priv. a. XVII 55. Ecl. ad proch. m. XVIII 7. Epan. a. LII 45. Proch. XXXIX νϐ Harm. VI 14, 15. Dig. L I § 11 (9· 1). [32] A: ἐξπεδέτῳ. [33] Ecl. priv. a. XVII 49. Ecl. ad proch. m. XVIII 9. Epan. a. LII 47. Proch. XXXIX νγ. Harm. VI 5, 9. L 3 § 14. Dig. (49. 16). Matt. Blast. K. κγ. (S. VI 333). [34] Z: ἀποδόσει. [35] Verba μετὰ τοῦτο—τιμὴν A: neglexit. [36] Ecl. priv. a. XVII 50. Ecl. ad proch. m. XVII 10. Epan. a. LII 46. Matth. Blast. ibid. Inst. 19 (4. 1). 14 et 18 (4. 6) ibique Theophilus. [37] Z: τοιοῦτον. [38] A: τῶν κλαπέντων. [39] Z: τοιοῦτον. [40] Ecl. priv. a. XVII 51. Ecl. ad proch. m. XVIII 17. Epan. a. LII 48. Proch. XXXIX νε Harm. eod. 12. § 3 Inst. (4. 8). ibique Theophilus. Matth. Blast. ibid. [41] Z: πρῶτον μέν. [42] Z: δεύτερον δέ. [43] A: verba τρίτον δὲ χειροκοπείσθω omittit. [44] Z: ἀποκαθίστασθαι. [45] Ecl. priv. a. XVII 15. Ecl. ad proch. m XVIII 23. Epan. a LII 49. Matth. Blast. ibid. Proch. XXXIX νϛ. Harm. VI 5, 13. [46] Ecl. priv. a. XVII 43. Ecl. ad proch. m. XVIII 24. Epan. a. LII 50 Cnf. Σύνοψιν ΑΑ', ξ'. Dig. 6 pr. 9 pr. § 1

ιε'. Ὁ εἰσερχόμενος ἐν θυσιαστηρίῳ[47] ἐν ἡμέρᾳ ἢ ἐν νυκτὶ καί τι τῶν ἱερῶν ἀφελόμενος[48], τυφλούσθω· ὁ δὲ ἔξω τοῦ θυσιαστηρίου ἐκ τοῦ ναοῦ ἐπαίρων τι, δερέσθω[49] ὡς ἀσεβὴς καὶ κουρευόμενος ἐξοριζέσθω[50].

ις'. Ὁ σῶμα ἐλεύθερον κλέπτων καὶ πιπράσκων, χειροκοπείσθω[51].

ιζ'. Ὁ ὑπονοθεύων καὶ κρύπτων[52] καὶ ἀφανῆ ποιῶν ἀλλότριον οἰκέτην, πρὸς τῇ ἀποκαταστάσει τοῦ τοιούτου δούλου καὶ ἕτερον τῷ κυρίῳ αὐτοῦ οἰκέτην ἢ τὰς ὑπὲρ αὐτοῦ τιμὰς ἀποδιδότω[53] [54].

ιη'. Οἱ παραχαράκται μονήτας χειροκοπείσθωσαν[55].

ιθ'. Ὁ ἔχων γυναῖκα καὶ πορνεύων, τυπτέσθω πρὸς σωφρονισμὸν ἀλλακτὰ δώδεκα, κἄν τε πλούσιός ἐστι κἄν τε πένης[56].

κ'. Ὁ μὴ ἔχων γυναῖκα καὶ πορνεύων, τυπτέσθω ἀλλακτὰ ἕξ[57].

κα'. Ὁ ἔχων γυναῖκα καὶ τῇ ἰδίᾳ συγγινόμενος[58] δούλῃ, διαγινωσκομένου τοῦ πράγματος, ταύτην ὑπὸ τοῦ κατὰ τόπον ἄρχοντος ἐπαίρεσθαι καὶ παρ' αὐτοῦ ὑπὲρ ἐπαρχίαν πιπράσκεσθαι, τῶν τιμῶν αὐτῆς κομιζομένων τῷ μέρει τοῦ δημοσίου[59].

(48. 13) l. 3 § 7 (47. 12) — Basil. 3 (60 23) — Proch. XXXIX νζ. Harm. eod. 14. [47] Z: ἢ addit. [48] Z: ἀφελούμενος. [49] Z: δαιρέσθω. [50] Ecl. priv. a. XVII 38. Ecl. ad proch. m. XVIII 25. Epan. a. LII 51. Proch. XXXIX νη. Harm. VI 5. 15. Σύνοψις ροε. Dig. 10 § 1 (48. 13) — Bas. 12 (60. 45). Matt. Blast. I, α. [51] Ecl. ad proch· m. XVIII 27. Epan. a. LIII 3. Proch. XXXIX ε. Harm. VI 13, 4. Dig. 4 (48. 15). [52] Z: κλέπτων. [53] Z: διδότω. [54] Ecl. priv. a. XVII 48. Ecl. ad proch. m. XVIII 26. Σύνοψις ροϛ. Dig. 5 (48. 15) — Bas. 4 (60. 48). [55] Ecl. priv. a. XVII 44. Ecl. ad proch. m. XVIII 28. Proch. XXXIX ιδ. Harm. VI 14, 3. Σύνοψις σμη. C 1 (9. 24) — Bas. 1 (60. 60) cum sch. [56] Ecl. priv. a. XVII 22. Ecl. ad proch. m. XIX 1. Epan. a. LII 52. Proch XXXIX νθ. Harm. VI 3, 1. Σύνοψις Ἀτταλ. ρλε. Bas. 83 (60. 37). cum sch. C. 1 (5. 26). [57] Ecl priv. a· XVII 21. Ecl. ad proch· m. XIX 2. Epan a. LII 53. Σύνοψις eod. Basil. eod. Proch. ib. Harm. eod. § 13. [58] Z: συγγενόμενος. [59] Ecl. priv. a. XVII 23, 29. Ecl. ad proch. m. XIX 3. Epan. a. LII 54. Σύνοψις eod. Basil eod. Cf. C. 25 (9. 9). Proch. XXXIX ξ. Harm. eod § 2.

κϐ'. Ὁ πορνεύων εἰς[60] δούλην ἀλλοτρίαν, ἔντιμος ὢν παρεχέτω ὑπὲρ τοῦ τοιούτου πταίσματος τῷ αὐθέντῃ[61] τῆς δούλης νομίσματα τριάκοντα ἕξ, εὐτελὴς δὲ ὢν τυπτέσθω καὶ εἰς ὅσον εὐπορεῖ ἀναλογίαν τῶν τριάκοντα ἓξ νομισμάτων διδότω[62].

κγ'. Ὁ πορνεύων εἰς μοναστρίαν, ὡς τὴν ἐκκλησίαν τοῦ θεοῦ καθυϐρίζων[63], ῥινοκοπείσθω, δι' ὧν[64] κἀκεῖνος μοιχείαν εἰργάσατο, τῆς ἐκκλησίας[65] αὐτὴν ἀλλοτριώσας[66], τῆς ὁμοίας καὶ ἐπ' αὐτῇ[67] φυλαττομένης ἐπεξελεύσεως[68].

κδ'. Ὁ ἁρπάζων μοναστρίαν ἢ καὶ παρθένον βιωτικὴν ἐξ οἱουδήποτε τόπου, ἐὰν διαφθείρῃ αὐτὴν ῥινοκοπείσθω· οἱ δὲ τοιαύτῃ ἁρπαγῇ συντρέχοντες ἐξοριζέσθωσαν[69].

κε'. Ὁ πρὸς γάμον τὸ δοκεῖν ἀγόμενος[70] τὴν ἐκ τοῦ ἁγίου καὶ σωτηριώδους βαπτίσματος γενομένην αὐτῷ σύντεκνον, ἢ καὶ σαρκικῶς ταύτῃ[71] ἄνευ γάμου συμπλεκόμενος, ὁ τοῦτο πλημμελῶν μετὰ τὸ ἀποδιωχθῆναι αὐτοὺς ἀπ' ἀλλήλων τῇ τῶν μοιχῶν ποινῇ καθυποβαλλέσθω, ἤγουν καὶ αὐτὸν κἀκείνην ῥινοκοπεῖσθαι[72][73].

κϛ'. Εἴ τις εἰς ὕπανδρον σύντεκνον αὐτοῦ τι τοιοῦτον εὑρεθῇ ποιῶν, καὶ αὐτὸν καὶ ταύτην πρὸς τῇ ἐκτομῇ τῆς ῥινὸς καὶ σφοδρῶς τύπτεσθαι[74].

κζ'. Ὁ εἰς γυναῖκα ὕπανδρον μοιχεύων ῥινοκοπείσθω καὶ αὐτὸς καὶ ἡ μοιχαλίς, ὡς ἐντεῦθεν χωρισμοῦ γινομένου καὶ ἀπωλείας τέκνων προερχομένης, καὶ τοῦ κυριακοῦ λόγου μὴ

[60] A: non habet. [61] Z: δεσπότῃ. [62] Ecl. priv. a. XVII 24. Ecl. ad proch. m. XIX 4. Proch. XXXIX ξα. Harm. VI 3, 2. Σύνοψις eod Cf. Dig. 25 (47. 10)—Bas. 24 (60. 21) cum sch. [63] Z: ἐνυϐρίζων. [64] Z: διό. [65] Z: addit τοῦ θεοῦ. [66] Z: ἀλλοτριώσας αὐτήν. [67] Z: αὐτῆς. [68] Epanag. a. LII 55. Ecl. ad proch. m. XIX 5. Proch. XXXIX ξϐ. Harm. eod. § 3. Σύνοψις ρκθ. Basil. 77 (60. 37) Cnf. Johan. Scholast. c 85 ('Ανέκδ. Heimb. II 233) Matth. Blast. Γ'. ι' (S. VI 170). [69] Ecl. priv. a. XVII 56. Harm. VI 3, 6. Nov. 143. Theodor. CXLIII 1 ('Ανέκδ. Zach. 154). Matth. Blast. A. ιγ'. (S. VI 102). [70] Z: ἀγαγόμενος. [71] A: ταύτην. [72] Z: καὶ αὐτὸς καὶ ἐκείνη ῥινοκοπείσθω. [73] Epan. a. LII 56. Proch. XXXIX ξγ. Harm. V, 3, 4. Matth. Blast. Γ. θ'. (S. VI 169). [74] Ecl. priv. a. XVII 61. Ecl. ad proch. m. XIX 6. Proch. eod. Harm. eod. Σύνοψις 'Ατταλ. ρλ. (Θέμιδος Σγούτα p. 127).

φυλαττομένου, διδάσκοντος, ὅτι ὁ Θεὸς εἰς σάρκα μίαν τούτους συνήνωσε· μετὰ δὲ τὸ ῥινοκοπηθῆναι τὴν μοιχαλίδα λαμβάνειν αὐτὴν τὰ ἴδια αὐτῆς πράγματα, ἅπερ εἰσήγαγε τῷ ἀνδρὶ αὐτῆς[75] καὶ μηδὲν ἕτερον[76]· τὸν δὲ μοιχὸν ἐκ τῆς ἰδίας γυναικὸς μὴ χωρίζεσθαι, εἰ καὶ ἐρινοκοπήθη· μετὰ πολλῆς δὲ ἀκριβείας καὶ τὸ περὶ μοιχείας ζητείσθω κεφάλαιον, καὶ ἐπιτηρείτωσαν οἱ ἀκροαταὶ τοὺς κατηγόρους τῆς τοιαύτης ὑποθέσεως· καὶ εἰ μέν ἐστιν ὁ ἴδιος ὁ πατὴρ ἢ ὁ ἀνὴρ ἢ ἡ μήτηρ αὐτῆς ἢ ἀδελφὸς ἢ θεῖος ὁ κατηγορῶν, εὐπιστοτέρα ἡ πρόφασις τῆς ζητήσεως γίνεται· εἰ δὲ ξένοι εἰσὶν οἱ κατηγοροῦντες, δέον κανονίζεσθαι τὰ πρόσωπα ποίας πολιτείας εἰσί, καὶ τούτους κατασφαλίζεσθαι καὶ ἀπαιτεῖν αὐτοὺς τὴν περὶ τούτου ἀπόδειξιν. Καὶ εἰ μὲν ἀποδείξωσι τὴν μοιχείαν, ῥινοκοπείσθωσαν ὅ τε μοιχὸς καὶ ἡ μοιχαλίς· εἰ δὲ οὐκ ἀποδείξωσιν[77], ἀλλὰ δι' ἔχθραν τὴν κατηγορίαν ἐποίησαν, τὴν ταυτοπάθειαν ὡς συκοφάνται ὑπομενέτωσαν[78].

κη'. Ὁ τῇ ἰδίᾳ γαμετῇ μοιχείαν συγγινώσκων καὶ παραχωρῶν, τυπτόμενος ἐξοριζέσθω· ἡ δὲ μοιχαλὶς καὶ ὁ μοιχὸς ῥινοκοπείσθωσαν[79].

κθ'. Ὁ συγγινόμενος κόρῃ παρθένῳ, προαιρέσει μὲν τῆς κόρης, ἀγνοίᾳ δὲ τῶν αὐτῆς γονέων, ἐν ὑστέρῳ δὲ τούτων διαγινωσκόντων, εἰ μὲν θελήσει λαβεῖν ταύτην[80] καὶ θέλουσι[81] καὶ οἱ γονεῖς αὐτῆς, γινέσθω τὸ συνάλλαγμα· εἰ δὲ ἓν τῶν μερῶν οὐ θελήσει, εἰ μέν ἐστιν εὔπορος ὁ φθορεύς, διδότω τῇ φθαρείσῃ κόρῃ λίτραν χρυσίου[82] μίαν· εἰ δὲ ἐστιν ἐνδεέστερος, διδότω τὸ

[75] Cnf. Nov. 117 c. 8 § 2. 134 c. 11. — Basil. 1 (28. 7). Nov. Leonis XXXII (ed. Zach. coll. II). Athanas. X 9. ('Ανέκδ. Heimb. 127). Theodor. CXXXIV ('Ανέκδ. Zach. 147). Matth. Blast. M. ιγ. (S. VI 377). [76] Z: καὶ μηδὲν ἕτερον non habet. [77] Z: repetit τὴν μοιχείαν. [78] Ecl. priv. a. XVII 25. Ecl. ad proch. m. XIX 7. Proch. XXXIX μϛ, με. Harm. VI 2, 13 et 19. Nov. 117 c. 15 pr. Marci 10, 8. [79] Ecl priv. a. XVII 28. Ecl. ad proch. m. XIX 9. Epan. a. LII 57. Proch XXXIX ξδ. Harm. VI 2, 26. Dig. 2 § 2 L. 29 pr. (48. 5), C. 2 (9. 9). — Basil. 4 (60. 37) cum sch. [80] Z: αὐτήν. [81] Z: θελήσουσι. [82] A: verbum χρυσίου omittit.

ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ· εἰ δὲ παντελῶς ὑπάρχει πένης καὶ ἀνεύπορος, τυπτόμενος καὶ κουρευόμενος ἐξοριζέσθω[83].

λ'. Ὁ βιαζόμενος κόρην καὶ φθείρων αὐτήν, ρινοκοπείσθω[84].

λα'. Ὁ φθείρων κόρην πρὸ τῆς ἥβης, ἤγουν πρὸ τοῦ τρισκαιδεκάτου[85] χρόνου, ρινοκοπείσθω καὶ τὸ ἥμισυ τῆς ὑποστάσεως αὐτοῦ παρεχέτω τῇ φθαρείσῃ[86].

λϐ'. Ὁ τὴν ἀλλοτρίαν μνηστὴν φθείρων, εἰ καὶ προαιρέσει τῆς κόρης τοῦτο ἐγένετο, ρινοκοπείσθω[87].

λγ'. Οἱ αἱμομίκται, ἢ γονεῖς πρὸς τέκνα, ἢ τέκνα πρὸς γονεῖς, ἀδελφοὶ πρὸς ἀδελφάς, ξίφει τιμωρείσθωσαν. Οἱ δὲ πρὸς ἄλλην συγγένειαν συμφθειρόμενοι, τουτέστι πατὴρ εἰς γυναῖκα υἱοῦ, ἢ υἱὸς εἰς γυναῖκα πατρὸς ἤγουν μητρυιάν, ἢ πατρωὸς εἰς προγονήν, ἢ ἀδελφὸς εἰς γυναῖκα ἀδελφοῦ, ἢ θεῖος εἰς ἀνεψιάν, ἢ ἀνεψιὸς εἰς θείαν, ρινοκοπείσθωσαν· ὁμοίως δὲ καὶ ὁ εἰς δύο ἀδελφὰς εἰδήσει μιγνύμενος ἢ καὶ ἐξαδέλφας[88] [89].

λδ'. Ὁ ἀλλοτρίᾳ μητρὶ καὶ τῇ ταύτης θυγατρὶ σαρκικῶς εἰδήσει μιγνύμενος, ρινοκοπείσθω· τῇ αὐτῇ[90] ποινῇ καὶ τῆς εἰδήσει συμπλημμελησάσης αὐτῷ ὑποκειμένης[91].

λε'. Ὁ δύο γαμετὰς ἔχων, τυπτέσθω, ἐκδιωκομένου τοῦ ἐπεισάκτου γυναίου μετὰ τῶν ἐξ αὐτῆς τεχθέντων τέκνων[92].

λϛ'. Ἐὰν γυνὴ πορνεύσῃ καὶ γένηται ἔγκυος, καὶ ἐπιβου-

[83] Ecl. priv. a· XVII 20. Ecl. ad proch. m XIX 12. Epan. a. LII 58. Proch. XXXIX ξε. Harm. VI 3, 5. Basil. 79 (60. 37). Matth. Blast. Γ. λ. (S. VI 202). [84] Ecl. priv. a. XVII 57. Ecl. ad proch. m. XIX 13. Epan. a. LII 59 Proch. XXXIX ξϛ. Harm. VI 3, 6. Σύνοψ. ρλϐ. Basil. 80 (60. 27)· Matth. Blast. ibid. [85] Z: τριςκαιδεκαετοῦς. [86] Ecl. ad proch m. XIX 14. Epan. a. LII 60. Proch. XXXIX ξζ. Harm. eod. § 9. Σύνοψ. ρλγ. Basil· eod. 81. Matth. Blast. M. ιγ. (S. VI 374). [87] Ecl. priv. a. XVII 58· Ecl. ad proch. m. XIX 15. Epan. a. LII 61. Proch. XXXIX ξη. Harm· eod. § 10. Σύνοψις ρλδ. Basil. 82 (60. 37). [88] Z: verba ἢ καὶ ἐξαδέλφας non habet. [89] Ecl. priv. a. XVII 16. Ecl. ad proch. m. XIX 20. Epan. a. LII 62. Proch. XXXIX ξθ. Harm. VI 4, 1. Σύνοψις ρκζ. Basil. 75 (60. 37). Matt Blast. Γ. θ. (S. VI 168). [90] Z: τοιαύτῃ. [91] Ecl. ad proch m. XIX 21. Epan. a. LII 62. [92] Ecl. priv. a. XVII 31. Ecl. ad proch. m. XIX 22. Epan. a. LII 63. Proch. XXXIX. ο. Harm. VI 4, 5. Σύνοψις ρλϛ'. Basil. 84 (60. 37) cum sch.

λεύσῃ τῇ ἰδίᾳ[93] γαστρὶ πρὸς τὸ ἐκτρῶσαι, τυπτομένη ἐξοριζέσθω[94].

λζ'. Οἱ ἀπὸ τοῦ παρόντος πρὸς γάμον συναπτόμενοι ἐξάδελφοι καὶ τὰ τούτων τέκνα καὶ μόνον, ἢ[95] πατὴρ καὶ υἱὸς πρὸς μητέρα καὶ θυγατέρα, ἢ καὶ[96] δύο ἀδελφοὶ εἰς δύο ἀδελφάς, πρὸς τῷ χωρισμῷ καὶ τυπτέσθωσαν[97].

λη'. Οἱ ἀσελγεῖς, ὅ τε ποιῶν καὶ ὁ ὑπομένων, ξίφει τιμωρείσθωσαν· εἰ δὲ ὁ ὑπομένων ἥττων τῶν ιϐ' ἐτῶν εὑρεθῇ συγχωρείσσθω, ὡς τῆς ἡλικίας δηλούσης μὴ εἰδέναι αὐτὸν τί ὑπέμεινεν[98].

λθ'. Οἱ ἀλογευόμενοι ἤγουν κτηνοϐάται καυλοκοπείσθωσαν[99].

μ'. Ὁ πῦρ ἐμϐαλὼν ἐν ἀλλοτρίᾳ ὕλῃ ἢ κόπτων ἐξ αὐτῆς δένδρα[100], εἰς τὸ διπλάσιον καταδικάζεται[101] [102].

μα'. Οἱ διά τινας ἔχθρας ἢ ἁρπαγὰς πραγμάτων ἐμπρησμὸν ἐν πόλει ποιοῦντες, πυρὶ παραδιδόσθωσαν· εἰ δὲ ἔξω πόλεως χωρία ἢ ἀγροὺς ἢ οἰκίας ἀγρῶν ἐξεπίτηδες ἐμπρήσωσι, ξίφει τιμωρείσθωσαν. Εἰ δέ τις τὴν καλάμην τοῦ ἰδίου χωραφίου ἢ τὰς ἀκάνθας βουλόμενος καῦσαι ἐνέϐαλε πῦρ κατ' αὐτῶν, τὸ δὲ πῦρ καὶ περαιτέρω προῆλθε καὶ ἔκαυσεν[103] ἀλλότρια χωράφια ἢ τὸν ἀλλότριον ἀμπελῶνα, δεῖ περιεργάζεσθαι τὸν ἀκροατήν, καὶ εἰ μὲν κατὰ ἀπειρίαν ἢ ῥαθυμίαν τὸ πῦρ γέγονε, τὸ ἀζήμιον τῷ βλαϐέντι ποιείτω. Εἰ γὰρ ἐν ἡμέρᾳ πολὺν ἄνεμον ἐχούσῃ τὸ πῦρ ἐνέϐαλεν, ἢ καὶ μὴ παρεφυλάξατο μὴ προελθεῖν τὸ πῦρ

[93] Z: οἰκείᾳ. [94] Ecl. priv. a. XVII 19. Ecl. ad proch. m. XIX 17. Epan. a. LII 64. Proch. XXXIX οα. [95] Z: addit καί. [96] Z: non habet. [97] Ecl. ad proch· m. XIX 23. Epan. a. LII 65. Proch. XXXIX οϐ. Harm. eod. § 2. Σύνοψις ρκη. Basil. 76 (60. 37). Matth. Blast. Γ θ. (S. VI 169). [98] Ecl. priv. a. XVII 11. Ecl. ad proch. m. XIX 24. Epan. a. LII 66. Proch. XXXIX ογ. Harm· eod. § 3. L. 31 C. (9. 9) Cf. Nov. 141. Matth. Blast. A. ιδ. (S. VI 105). [99] Ecl priv. a. XVII 30. Ecl. ad proch. m. XIX 25. Epan. a. LII 67. Proch. XXXIX οδ. Harm. eod. § 4. Σύνοψις ρλζ. Basil. 85 (60 37). Matth. Blast. A. ε. (S VI 78). [100] Z: δένδρον. [101] Z: καταδικαζέσθω. [102] Ecl. priv. a. XVII 59. Ecl. ad proch. m. XX 1. Cnf. Leg. Agrar. VIII 1. (Harm. ed. Heimb. p. 846). Dig. 1. (47. 7). [103] Z: addit articulum τά.

περαιτέρω, ὡς ἀμελήσας καὶ ῥαθυμήσας καταδικάζεται· εἰ δὲ πάντα μὲν παρεφυλάξατο, ἀθρόως[104] δὲ πνεῦμα βίαιον ἐνέπνευσε[105], καὶ διὰ τοῦτο πορρωτέρω[106] προῆλθε τὸ πῦρ, οὐ καταδικάζεται· ἐὰν ἐκ τοῦ συμβεβηκότος ἐμπυρισθῇ[107] οἶκός τινος καὶ καυθῶσί τινα τῶν ἰδίων αὐτοῦ πραγμάτων, καὶ ἐκδράμῃ τὸ πῦρ καὶ ἐμπρήσῃ τινὰ τῶν συμπαρακειμένων αὐτῷ οἰκημάτων, ἀνενόχλητος ἔστω, ὡς ἀκουσίως[108] τοῦ τοιούτου ἐμπρησμοῦ γενομένου[109].

μβ'. Ὁ ἁλισκόμενος[110], εἴτε ἐλεύθερος, εἴτε δοῦλος, ἐπὶ προφάσει οἱᾳδήποτε διδοὺς ποτόν, εἴτε γυνὴ ἀνδρί, εἴτε ἀνὴρ γυναικί, εἴτε δοῦλοι τῇ αὐθεντίᾳ, καὶ διὰ τῆς τοιαύτης προφάσεως ἀσθενείᾳ περιπέσῃ ὁ λαβὼν τὸ ὑπὸ τούτου[111] ποτὸν καὶ συμβῇ αὐτὸν καταρρεῦσαι[112] καὶ ἀποθανεῖν, ξίφει τιμωρείσθω[113].

μγ'. Οἱ γόητες καὶ οἱ φαρμακοί[114], οἱ ἐπὶ βλάβῃ ἀνθρώπων προσλαλούμενοι τοὺς δαίμονας[115], ξίφει τιμωρείσθωσαν[116].

μδ'. Οἱ ποιοῦντες φυλακτὰ τὸ δοκεῖν ἐπ' ὠφελείᾳ ἀνθρώπων δι' ἰδίαν αἰσχροκέρδειαν, δημευόμενοι ἐξοριζέσθωσαν[117].

με'. Ὁ φονεύων ἑκουσίως οἱασδήποτε ἡλικίας[118], ξίφει τιμωρείσθω[119].

μϛ'. Ὁ μετὰ ξίφους πλήττων τινα, ἐὰν φονεύσῃ, ξίφει τι-

[104] Z: ἀθρῶον. [105] Z: ἐνέπεσε. [106] Z: πορρώτερον. [107] Z: ἐμπρησθῇ. [108] Z: ἀνοήτως. [109] Ecl· priv. a. XVII 42. Ecl. ad proch. m. XX 2. Epanag. XL 81. Epan. a. LII 68, 69. Proch. XXXIX οε. et οϛ. Harm. VI 12, 5. Dig. I. 30 § 3 (9. 2). Basil. 30 (60. 3). Σύνοψις ρμε, ρμϛ, ρμζ. Matth. Blast. E ζ (S. VI 249). [110] Z: εὑρισκόμενος. [111] Z: non habet. [112] A: καταχυριεῦσαι. [113] Ecl. priv. a XVII 39. Ecl. ad proch. m. XXI 17. Epanag. XL 83. Epan a. LII 70· Proch. XXXIX οζ. Harm. VI 10, 2. Inst. 5 fin. (4. 18). L. 3 Dig. (48. 8). Basil. 3 (60. 39) cum sch. Matth. Blast. M. α (S. VI 361). [114] Z: φαρμακεῖς. [115] Z: προσλαλοῦντες τοῖς δαίμοσι. [116] Ecl. priv. a. XVII 41. Ecl. ad proch. m. XXI 16. Σύνοψις ρνγ. Harm. VI 10, 8. C. 6 (9. 18) — Basil. 27 (60. 39) cum scholio. Matth. Blast. ibid. [117] Ecl. priv. a. XVII 40. Ecl. ad proch. m. XXI 19. Epanag. XL 84. Epan. a. LII 71. Proch. XXXIX οη. Harm. eod. § 3. Cnf. Σύνοψις ρμα. fin. Basil. 3 (60. 39). Matth. Blast. ibid. (S. VI 362). [118] Z: addit ἐστί. [119] Ecl. priv. a. XVII 5. Proch. XXXIX οθ. Epanag. XI 85. Harm. VI 6, 3. Cnf. C. 6. (9. 16) — Basil. 18 (60.39). cum sch.

μωρείσθω[120]· εἰ δὲ οὐκ ἀποθάνῃ ὁ πληγείς, χειροκοπείσθω ὁ δεδωκώς, διὸ ὅλως μετὰ ξίφους δοῦναι[121] ἐτόλμησε[122].

μζ′. Ἐὰν μάχης μεταξύ τινων γενομένης συμϐῇ θάνατον προελθεῖν, συγκρινέτωσαν οἱ ἀκροαταὶ καὶ τηρείτωσαν τὰ ὄργανα, δι' ὧν ἐπράχθη ὁ θάνατος· καὶ εἰ εὕρωσι διὰ ξύλων τελείων ἢ[123] λίθων μεγάλων ἢ καὶ λακτισμάτων τὸν φόνον γενέσθαι, ὁ τοῦτο ποιῶν χειροκοπείσθω· εἰ δὲ δι' ἐλαφροτέρων τινων συμϐῇ γενέσθαι τὸν θάνατον, τύπτεσθαι τοῦτον καὶ ἐξορίζεσθαι[124].

μη′. Ὁ ἐν μάχῃ μετὰ χειρὸς τύπτων καὶ φονεύων τυπτέσθω καὶ ἐξοριζέσθω, ὡς ἀκουσίως φονεύσας[125] [126].

μθ′. Εἴ τις τὸν ἴδιον οἰκέτην λώροις ἢ ράϐδοις τύψει καὶ ἀποθάνῃ, οὐ κατακρίνεται ὁ δεσπότης αὐτοῦ ὡς ἀνδροφόνος· εἰ δὲ ἀμέτρως αὐτὸν ἐϐασάνισεν ἢ φαρμάκῳ ἀνεῖλεν ἢ προσέκαυσεν, ὡς φόνον πεποιηκὼς τιμωρείσθω[127].

ν′. Ὁ ληστεύων καὶ ἐνεδρεύων[128] καὶ φονεύων, ἐν ᾧ[129] κρατεῖται τόπῳ φουρκιζέσθω[130] [131].

να′. Οἱ συκοφάνται ἐν οἵᾳ δ' ἂν[132] αἰτίᾳ συκοφαντῶσί[133] τινα, τῇ ταὐτοπαθείᾳ[134] ὑποκείσθωσαν[135].

νϐ′. Οἱ μανιχαῖοι καὶ οἱ μοντανοὶ ξίφει τιμωρείσθωσαν[136].

[120] A: verba ὁ μετὰ ξίφους — τιμωρείσθω omittit. [121] A: non habet. [122] Ecl. priv. a. XVII 6. Ecl. ad proch. m. XXI 2. Epan. XL 88. Proch. XXXIX πϐ. Harm. eod. § 8. Basil. 12 (60. 39). Cf. C. 7 (9. 16). Jnst. 5 (4. 18). Basil. 19 (60. 39) cum. sch. [123] Z: addit καί. [124] Ecl. priv. a. XVII 8. Ecl. ad proch. m. XXI 3. Epan. LX 89. Proch. XXXIX πδ. Harm. VI 6, 9. Dig. 17 (48. 8) — Basil. 12 (60. 39). [125] Z: φονεύων. [126] Ecl. priv. a. XVII 9. Ecl. ad proch. m. XXI 4. Epan. XL 90. Proch. XXXIX πδ. Harm. eod. § 10. Basil. 12 (60. 39). [127] Ecl. priv. a. XVII 7. Ecl. ad proch. m. XXI 5. Epan. XL 91. Proch. XXXIX πε. Harm. eod. § 11. Σύνοψις σμϛ.′ C. l. un. (9. 14)—Basil. 1 (60. 59) cum sch. [128] Z: ἔνεδρα ποιῶν. [129] A: ᾧ. [130] Z: φουρκίζεται. [131] Ecl. priv. a. XVII 14, 62. L. 28 § 15. Dig. (48. 19) — Bas. 26 (60. 51). Cnf. C. 1 (3. 27). Basil. 16 § 15 (60. 39) cum sch. [132] Z: οἱᾳδήτινι. [133] Z: συκοφαντήσουσι. [134] A: αὐτοπαθείᾳ. [135] Ecl. ad proch. m. XXI 21. Proch. XXXIX ιε. Harm. VI 9, 3 C. 10 (9. 46) — Bas. 37 (60. 1). Cnf. C. 17 (9. 2) — Basil. 30 (60. 33). [136] Ecl. priv. a. XVII 52. Ecl. ad proch. m. XXI 20. Proch. XXXIX κη Epanag. XL 30. Harm. VI 11, 7. C. 16 (1. 5) — Basil. 32 (1. 1). Cnf. Phot. Nomoc. XII 2 et 3. Matth. Blast.

νγ'. Οἱ αὐτόμολοι, ἤτοι οἱ εἰς τοὺς πολεμίους προστρέχοντες, ξίφει τιμωρείσθωσαν[137].

ΤΙΤΛΟΣ ΙΗ'.[1]

Περὶ διαμερισμοῦ σκύλων.

α'. Τοὺς ἐξερχομένους εἰς ἐχθροὺς ἐπὶ πολέμῳ φυλάξασθαι[2] δεῖ ἑαυτοὺς ἀπὸ παντὸς πονηροῦ ῥήματος καὶ πράγματος καὶ πρὸς μόνον τὸν θεὸν τὸν νοῦν αὐτῶν ἔχειν καὶ τὴν δέησιν, καὶ μετὰ συμβουλίας ποιεῖσθαι[3] τὸν πόλεμον· βοήθεια γὰρ[4] ἐκ θεοῦ δίδοται μετὰ καρδίας βουλευτικῆς[5]· οὐκ ἐν πλήθει γὰρ δυνάμεως νίκη πολέμου, ἀλλ' ἐκ θεοῦ ἡ[6] ἰσχύς· τοῦ δὲ θεοῦ παρέχοντος νίκην, τὸ ἕκτον μέρος ἀφιεροῦσθαι δεῖ[7] τῷ δημοσίῳ, καὶ τὸ λοιπὸν πᾶν μέτρον ἅπαντας[8] τοὺς τοῦ λαοῦ[9] ἐξ ἴσης[10] καὶ ἐπ' ἴσης μοίρας μερίζεσθαι, τὸν μέγαν καὶ τὸν μικρόν· ἀρκεῖ γὰρ τοῖς ἄρχουσιν ἡ προσθήκη τῶν ρογῶν αὐτῶν. Εἰ δὲ εὑρεθῶσί τινες ἐκ τῶν ἀρχόντων ἀνδρείως φερόμενοι, ὁ εὑρισκόμενος στρατηγὸς ἐκ τοῦ εἰρημένου ἕκτου μέρους τοῦ δημοσίου ἵνα παράσχῃ καὶ κατὰ τὸ πρέπον συγκροτήσῃ αὐτούς· κατὰ δὲ τὴν μερίδα τοῦ εὑρισκομένου εἰς τὸν πόλεμον οὕτως ἔστω κατὰ τὸ γεγραμμένον καὶ ἡ μερὶς τῶν ἐν τοῖς τούλδοις ἀπερχομένων[11].

A. 6 (S. VI 75). [137] Haec § in Z. deest. Cnf. l. 3. Dig. § 10 et 11 (49. 16) l. 3 § 6 (48. 8) l. 38 § 1 (48. 19) — Basil. 16 (47. 1). 3 (60. 39) 34 (60. 51).

[1] A: tituli numerum titulumque non habet. [2] A: φυλάξαι. [3] A: ποιῆσαι. [4] A: non habet. [5] Z: ἐπιδεομένοις. [6] in A: articulus deest. [7] Z: verbum δεῖ omittit. [8] Z: πάντας. [9] Z: pro τοὺς τοῦ λαοῦ habet τοὺς λαούς. [10] Z: ἐξ ἴσου. [11] Ecl. priv. a. (integer) XVIII 1, 2, 3. Epanag. XL 93. Proch. XL α. Harm. II 6, 5. — Basil. (ed. Heimb. tom. V p. 917). Cnf. Leonis Tactic. c. XX § 192 (ed. Meursii).

APPENDIX

I

α΄. (*Περὶ ἐγγυῶν καὶ ἀντιφωνήσεων τοῦ ε΄ τίτλ. τοῦ 6ου κώδικος.*) Ὁ ἐγγυώμενος ἢ ἀντιφωνῶν ὑπέρ τινος καὶ αὐτὸς[1] γίνεται ἔνοχος, κἀκεῖνον δὲ οὐκ ἐλευθεροῖ[2].

6΄. Πάντες δὲ οἱ συγγενεῖς καὶ προσγενεῖς δεκτοί εἰσιν, κἂν εἰ[3] ἄποροι τυγχάνωσι· κἂν πένητας[4] λάβῃ τις ἐγγυητάς, οὐκ ἀπαιτεῖ ἑτέρους, εἰ μὴ[5] ἐγγυητὴς ἀπέθανεν ἢ τυχηρῶς τὴν οὐσίαν ἀπώλεσε[6].

γ΄. Ὁ ἀντιφωνῶν καὶ λέγων, τὸ ἱκανόν σοι[7] ποιῶ, ἐνέχεται[8]· εἰ δὲ εἴπῃ, ἐγὼ ἢ ὁ δεῖνα[9], εἰς ὁλόκληρον ἐνέχεται· εἰ δὲ εἴπῃ τις, τὸ ἱκανόν σοι γένηται[10], οὐδὲν πέπρακται[11].

δ΄. Ὁ ἐγγυώμενός τινα παριστᾶν εἴσω ῥητοῦ χρόνου ἢ καὶ ἀντιφωνήσας φανερὰν καταβαλέσθαι[12] ποσότητα, μὴ ἀπαιτείσθω μετὰ παραδρομὴν τοῦ χρόνου, κἂν ἢ ἓξ μηνῶν ἢ πλείονος χρόνου ἐστὶν ἡ προθεσμία, ἀλλ' ἐχέτω ἑτέρων ἓξ μηνῶν χρόνον[13]· παραδραμούσης δὲ καὶ τῆς δευτέρας προθεσμίας, μηκέτι τὸν ἐγγυηθέντα παραγέτω, ἀλλὰ τὴν ποινὴν ἀπαιτείσθω[14].

[1] ZA: addit μέν. ('Ανέκδοτα p. 130). [2] ZA: 'Ανέκδ. p. 190 l. 28 Dig. (13. 5) — Bas. 28 (26. 7). [3] ZA: addit τε καί. [4] ZA: addit δέ. [5] ZA: addit ὁ. [6] ZA: ibid. Dig. 1, 2, 3 (2. 6) 2. 10 (2. 8) — Bas. 5. 6 (7. 12) 2. 10 (7.14). [7] A: non habet. [8] ZA: addit εἰ δὲ εἴπῃ ἐγὼ καὶ ὁ δεῖνα, μὴ γενομένου τῷ ἄλλῳ προκρίματος κατέχεται. [9] ZA: ἐγὼ ὁ δεῖνα ἢ ὁ δεῖνα. [10] ZA: γενήσεται. [11] ZA: ibid. Nov. 115 c. 6. Theod. ('Ανέκδ. Zach. p. 111). ('Ανέκδ. Heimb. p. 157). [12] ZA: καταβάλλεσθαι. [13] A: χώραν. Zach. 'Ανέκδ. ibid. [14] L. C. 26 (8. 41). Ροπαὶ (ed. Zachariae pag. 166, 246). Bas. 90 (26. 1).

ε΄. Ὁ καθ' οἱονδήποτε τρόπον χρεωστούμενος, κινείτω πρῶτον κατὰ τοῦ πρωτοτύπου, ἐκείνου δὲ ἀποροῦντος ἢ ἀποδημοῦντος[15] ἢ ἀπόντος, κινείτω κατὰ τοῦ ἐγγυητοῦ· εἰ δὲ μηδὲ οὕτω πληρωθῇ τὸ χρέος, τότε κινείτω κατὰ τῶν νεμομένων[16] τὰ πράγματα τοῦ πρωτοτύπου, ὕστερον κατὰ τῶν τὰ πράγματα τοῦ ἐγγυητοῦ νεμομένων[17] ἢ τῶν χρεωστούντων αὐτῷ[18].

II

α΄. (*Περὶ ὅρων καὶ ὁροθεσίων ἀγρῶν. Τοῦ κε΄ βιβ. τῶν Διγέστων.*) Ὁ ἀρχαίους μετακινήσας ὅρους ἢ καὶ τὸν ἀγρόν τινος βίᾳ σκολοπίζων κεφαλικῶς τιμωρείσθω[1].

β΄. Ἐάν τις ἀλλοτρίῳ ἐδάφει οἰκείαις ὕλαις οἶκον κατασκευάσῃ, ὁ τοῦ ἐδάφους κύριος καὶ τοῦ οἰκήματος ἔσται δεσπότης διὰ τὸν κανόνα τὸν λέγοντα, εἴκειν τὰ ἐπικείμενα τοῖς ὑποκειμένοις· ὥστε σὺν τῇ ὕλῃ ἀπολαύει καὶ τῆς δεσποτείας διηνεκῶς ὁ τοῦ ἐδάφους κύριος, μὴ δυνάμενος κινεῖν περὶ τῆς τῶν ὑλῶν διατιμήσεως[2].

γ΄. (*Τοῦ κώδικος βιβλίον γ΄ τίτλ. λϛ΄.*) Ὁ ἐν ἀλλοτρίῳ ἐδάφει κτίζων ἢ σπείρων ἢ φυτεύων ἢ ἄλλο τι ἐργαζόμενος, ἐκπιπτέτω τῆς δεσποτείας, μηδὲ τὰ δαπανήματα λαμβάνων[3].

δ΄. (*Τοῦ αὐτοῦ βιβλ. θ΄ τίτλ. ιβ΄.*) Ὁ κατὰ βίαν ἀγροῦ τινος ἐπιβαίνων, κἂν ἐκ τοῦ οἰκείου αὐτοῦ μέρους ἀναιρεθῇ τις, κἂν ἐκ τοῦ ἐναντίου, αὐτὸς ὡς ἀνδροφόνος τὴν κεφαλὴν ἀποτεμνέσθω[4].

ε΄. (*Τοῦ αὐτοῦ.*) Ὁ νομίζων τὸν ἀγρὸν ἢ ἕτερον πρᾶγμα παρ'

[15] ZA: non habet. [16] ZA: νεμομένου. [17] ZA: νεμομένου. [18] Fragm. Novellarum in 'Ανέκδοτα Zach. pag. 212. Nov. 4, c. 1. 2. Nov. 99. Athan. XV α. ('Ανέκδ. Heimb. 153). Epit. XIX ζ. Proch. XVI ι. Harm. III 6, 1.

[1] Leg. rust. X 4 (ed Heimb.) Cnf. Proch. XXXIX μη. et Dig. 3 § 1 (47. 21). [2] Leg. rust. eod. 5. L. 39 pr. Dig. (6. 1) — Basil. 39 (15. 1). [3] Leg. rust. eod. 2. Cnf. l. 11 C. (3. 32) — Basil. 90 (15. 1). [4] Leg. rust. eod. 10. L. 6. C. (9. 12). Basil. 25 (60. 18) cum. sch.

ἑτέρου γενόμενον ἑαυτῷ διαφέρειν, προσίτω τῷ ἄρχοντι· εἰ δὲ βίαν κατηγορῶν μὴ ἀποδείξῃ, αὐτοῦ τὴν τιμωρίαν ὑπομεινέτω· εἰ δὲ περιφρονήσας τοῦ δικαστηρίου βίαν αὐτὸς ἐπάγῃ, τῆς μὲν νομῆς ἐκπιπτέτω, καταδικαζέσθω δὲ περὶ τῆς βίας καὶ ἐξοριζέσθω, ἐκπίπτων καὶ ἐκ τῶν οἰκείων πραγμάτων [5].

ϛ'. Πάντες οἱ ἄρχοντες αὐλικοί τε καὶ στρατιωτικοὶ δι' ἑαυτῶν ἀναζητείτωσαν τοὺς βίας ἢ ἁρπαγὰς ἢ ἄλλα ἀτοπήματα ἐν ταῖς ἐπαρχίαις πλημμελοῦντας, καὶ τούτους νομίμως τιμωρείσθωσαν [6].

III

Ποινάλια περὶ στρατιωτικῶν καταστάσεων.

Α

α'. Οἵτινες τολμήσωσι συνωμοσίαν ἢ φατρίαν ἢ στάσιν κατὰ τοῦ ἰδίου ἄρχοντος ποιῆσαι ὑπὲρ οἱασδήποτε αἰτίας κεφαλικῇ ὑποβληθήσονται τιμωρίᾳ, κατ' ἐξαίρετον οἱ πρῶτοι καὶ αἴτιοι τῆς συνωμοσίας ἢ τῆς στάσεως γενόμενοι [1].

β'. Ἐὰν στρατιώτης τῷ ἰδίῳ πεντάρχῳ μὴ ὑπακούσας ἐναντιωθῇ, σωφρονιζέσθω· ὁμοίως καὶ πένταρχος, ἐὰν τῷ οἰκείῳ δεκάρχῳ μὴ ὑπακούσῃ· ὡσαύτως δὲ καὶ δέκαρχος τῷ ἰδίῳ ἑκατοντάρχῳ [2].

γ'. Εἰ δέ τις τῶν τοῦ τάγματος τολμήσει ἐναντιωθῆναι τῷ μείζονι ἄρχοντι αὐτοῦ, ἤγουν τῷ κόμητι ἢ τριβούνῳ, τῇ ἐσχάτῃ ὑποκείσθῳ τιμωρίᾳ [3].

δ'. Εἰ δέ τις ἀκούσας μανδᾶτον τοῦ δεκάρχου αὐτοῦ, μὴ

[5] Leg. rust. eod. 11 L. 7. C. (9. 12)—Bas. eod. 26. cum sch. [6] L. 10 C. (9. 12). Basil. eod. 30. Nov. 128 c 21.

[1] Cnf. 1. 5 p. C. (9. 8)—Basil. 18 (60. 36) cum sch. L. 1 Dig. (48. 4). L. 38. § 2 (48. 19). L. 3 § 19. L. 6 § 1. Dig. (49. 16) — Basil. 9 et 14 (57. 4)· Leon. Tact. VIII 5. [2] Cnf. L. 13 § 4 (49. 16). Leon. Tact. ιϛ. § 2. [3] L. 6 § 2. Dig. (49. 16). Basil. 14 (57. 1).

φυλάξῃ, σωφρονιζέσθω, εἰ δὲ ἀγνοῶν τὰ μανδᾶτα πταίσει, ὁ δέκαρχος σωφρονιζέσθω δι' ὧν οὐ προεδίδαξεν αὐτόν[4].

ε'. Ἐὰν στρατιώτης ἀδικηθῇ παρά τινος, τῷ ἄρχοντι τοῦ τάγματος ἐγκαλείτω· εἰ δὲ καὶ παρὰ τοῦ ἄρχοντος αὐτοῦ ἀδικηθῇ, τῷ μείζονι ἄρχοντι περὶ τούτου προσερχέσθω[5].

ϛ'. Εἴ τις τολμήσει βαγεῦσαι ὑπὲρ τὸν χρόνον τοῦ κομμεάτου, καὶ τῆς στρατείας ἐκϐληθήσεται καὶ ὡς παγανὸς τοῖς πολιτικοῖς ἐκδοθήσεται ἄρχουσι[6].

ζ'. Εἰ δέ τις ἐν καιρῷ τοῦ πολέμου διὰ κομμεᾶτον στρατιώτην ἀπολύσαι τολμήσει, τριάκοντα νομίσματα ποινὴν διδότω· ἐν καιρῷ δὲ παραχειμαδίου, δύο ἢ καὶ τριῶν μηνῶν ποιείτω κομμεᾶτα ὁ στρατιώτης· ἐν δὲ καιρῷ εἰρήνης, κατὰ τὸ διάστημα τῆς ἐπαρχίας τὰ κομμεᾶτα τῷ στρατιώτῃ γίνεσθαι[7].

η'. Εἰ δέ τις ἐλεγχθῇ θελήσας ἑαυτὸν τοῖς ἐχθροῖς παραδοῦναι, τῇ ἐσχάτῃ ὑποϐληθήσεται τιμωρίᾳ· οὐ μόνον δὲ αὐτός, ἀλλὰ καὶ οἱ συγγνώσαντες αὐτῷ καὶ σιωπήσαντες[8].

θ'. Εἴ τις ζημιώσει στρατιώτην ἢ συντελεστήν, διπλῇ ποσότητι τὸ αὐτὸ ἀποκαταστήσει τῷ ζημιωθέντι[9].

ι.' Εἰ δὲ οἱοσδήποτε ἄρχων ἢ στρατιώτης ἐν παραχειμαδίῳ ἢ κατὰ πάροδον εἰς τὰ σέδετα ζημιώσει στρατιώτην ἢ συντελεστὴν καὶ τοῦτον δεόντως οὐκ ἀποθεραπεύσῃ, ἐν διπλῇ ποσότητι αὐτῷ τὸ πρᾶγμα τῷ ζημιωθέντι ἀποκαταστήσει[10].

ια'. Ἐάν τις παραφυλακὴν κάστρου ἢ πόλεως πιστευθεὶς τοῦτο προδώσῃ, ἢ δυνάμενος τοῦτο ἐκδικῆσαι ἐκεῖθεν ἀπαναχωρήσῃ παρὰ γνώμην τοῦ ἄρχοντος αὐτοῦ, ἢ καὶ ἐκτὸς ἀνάγκης εἰς

[4] L. 3 § 15 (49. 16) — Basil. 7 (57. 1). Leon. ibid. [5] Cnf. L. 18 § 6et 7. C. (12. 36). Leon. ib. § 3. [6] L. 2 § 7. L. 14 pr. (49. 16). Cnf. Ducangii Glossar. in V° Κομεάτον et Leon. ib. § 4. [7] L. 12 § 1 (49. 16). L. 13. C. (12. 36). Leon. ibid. § 15. [8] L. 3 § 11 (49. 16). Leon. ib. § 7. [9] Cnf. L. 4. C. (3. 35) — Bas. 61 (60. 3). et C. l. 2 § 11 (1. 27). Cnf. Leon. ib. § 10. 13. [10] Nov. 130 c. 4 et Leon. ib. § 14.

ζωὴν συντεινούσης, κεφαλικῇ καταδικασθήσεται τιμωρίᾳ [11].

ιϐ'. Εἴ τις ἄλογον ζῶον ἢ ἕτερόν τι εἶδος μικρὸν ἢ μέγα εὑρὼν μὴ φανερώσῃ αὐτὸ καὶ τῷ ἰδίῳ ἄρχοντι παραδώσῃ, ὡς κλέπτης σωφρονιζέσθω αὐτός τε καὶ οἱ συγγνώσαντες αὐτῷ καὶ σιωπήσαντες [12].

ιγ'. Ἐὰν στρατιώτης ἐν καιρῷ παρατάξεως ἢ πολέμου τὴν τάξιν ἢ τὸ βάνδον αὐτοῦ ἐάσῃ καὶ φύγῃ, ἢ τοῦ τόπου, ἐν ᾧ ἐτάγη, προπηδήσῃ καὶ σκυλεύσῃ νεκρόν, ἢ εἰς ἐπιδίωξιν ἐχθρῶν προπετῶς καταδράμῃ, τοῦτον κελεύομεν κεφαλικῶς τιμωρεῖσθαι, καὶ πάντα τὰ παρ' αὐτοῦ, ὡς εἰκὸς, ἐπαιρόμενα ἀφαιρεῖσθαι καὶ τῷ κοινῷ δίδοσθαι τοῦ τάγματος, ὡς ἐκείνου τὴν τάξιν παραλύσαντος καὶ τοῖς ἑταίροις αὐτοῦ ἐντεῦθεν ἐπιϐουλεύσαντος [13].

ιδ'. Ἐὰν ἐν καιρῷ δημοσίας παρατάξεως ἢ πολέμου γένηται τροπὴ ἄνευ τινος εὐλόγου καὶ φανερᾶς αἰτίας, κελεύομεν τοὺς στρατιώτας ἐκείνου τοῦ τάγματος, τοῦ πρώτου φεύγοντος καὶ ὑπαναχωροῦντος ἐκ τῆς τάξεως ἤγουν τοῦ ἰδίου μέρους, τοῦ εἰς τὴν μάχην ταγέντος, ἀποδεκατοῦσθαι καὶ ὑπὸ τῶν λοιπῶν ταγμάτων κατατοξευθῆναι, ὡς τὴν τάξιν παραλύσαντας καὶ αἰτίους τῆς τοῦ παντὸς μέρους τρόπῆς γεγονότας· εἰ δὲ συμϐῇ τινὰς ἐξ αὐτῶν, ὡς εἰκός, πληγάτους ἐν αὐτῇ τῇ συμϐολῇ γενέσθαι, ἐκείνους ἐλευθέρους εἶναι τοῦ τοιούτου ἐγκλήματος [14].

ιε'. Ἐὰν βάνδου ἀφαίρεσις ὑπὸ ἐχθρῶν γένηται, ἄνευ τινος εὐλόγου καὶ φανερᾶς προφάσεως κελεύομεν τοὺς τὴν φυλακὴν τοῦ βάνδου πιστευθέντας σωφρονίζεσθαι, καὶ *ἀτίμους*[15] γενέσθαι τῶν ἀρχομένων ὑπ' αὐτῶν, ἤτοι τῶν σχολῶν, ἐν αἷς ἀναφέρονται. Εἰ δέ τινας αὐτῶν μαχομένους συμϐῇ γίνεσθαι πληγά-

[11] L. 3 D. (48. 4).—Bas. 3 (60. 36). Proch. a. XXXIX 44. Att. XXXV 96. Leon. ib. § 6. [12] Leon. ib. § 9. [13] L. 3. C. (12. 46). Leon. ibid. § 20 [14] L. 6 § 3 D. (49. 16) — Bas. 14 (57. 1). Leon. ib § 22 [15] Leuncl. notat οὐλτίμους, non male. In § 29 Leonis Tac. ἐσχάτους legitur rectius.

τους, ἐλευθέρους τοὺς τοιούτους φυλάττεσθαι τοῦ τοιούτου ἐπιτιμίου[16].

ιϛ'. Ἐὰν ἔτι τοῦ φουσάτου ὄντος γένηται τροπὴ μέρους ἢ παρατάξεως, καὶ μήτε προδιφένσορας[17] προσδράμωσιν οἱ παρόντες[18], μήτε δὲ ἐν αὐτῷ τῷ φουσάτῳ καταφύγωσιν, ἀλλὰ περιφρονοῦντες ἐν ἑτέρῳ ἀπέλθωσι τόπῳ, κελεύομεν τοὺς τοῦτο πράττειν τολμῶντας τιμωρεῖσθαι, ὡς τῶν ἑταίρων περιφρονήσαντας καὶ τῆς ἐκπλήξεως[19] αἰτίους γεγονότας[20].

ιζ'. Ἐὰν στρατιώτης ἐν καιρῷ τοῦ πολέμου ρίψῃ τὰ ὅπλα αὐτοῦ, κελεύομεν αὐτὸν τιμωρεῖσθαι ὡς ἑαυτὸν γυμνώσαντα, τοὺς ἐχθροὺς δὲ ὁπλίσαντα[21].

B.

α'. (*Ἐκ τοῦ αϐ' βιβλίου τῶν διγέστων τίτλος ιϛ'.*) Ἐάν τις ἐν πολέμῳ ἀπηγορευμένον αὐτῷ παρὰ τοῦ δουκὸς[22] ποιήσῃ ἢ τὰ ἐνταλθέντα αὐτῷ παρ' αὐτοῦ μὴ πληρώσῃ, κεφαλικῶς τιμωρεῖται[23], εἰ καὶ καλῶς τὸ πρᾶγμα διῴκησε[24].

ϐ'. Ἐὰν στρατιώτης τὸν πόλεμον ἐπιστάμενος βαγεύσῃ ἢ ἀπὸ φουσάτου ἀναχωρήσῃ ἢ πρῶτος ἐν παρατάξει φύγῃ ἐπ' ὄψεσι τῶν στρατιωτῶν ἢ τὰ ἴδια ὅπλα ἀπολέσῃ ἢ πωλήσῃ, εἰς κεφαλὴν κολάζεται· εἰ δὲ φιλανθρωπίας τύχῃ, τυπτόμενος τὴν στρατείαν ἐναλλάσσει[25] [26].

γ'. Ὅστις τῷ φόβῳ τῶν πολεμίων νοσεῖν τὸ σῶμα προσεποιήσατο κεφαλικῶς τιμωρηθήσεται[27].

[16] L. 3 § 5 (49. 16). Leon. ib. § 29. [17] Leuncl. «μήτε δῆθεν πρὸς σωτηρίαν». [18] Leuncl. *τραπέντες*. [19] A: verbum ἐκπλήξεως omittit. [20] L. 3 § 4 D. (49. 16) Bas. 1 (57. 1). Leon. ib. § 24. [21] Leuncl. τοὺς δὲ ἐχθροὺς ὁπλίσαντα. Est L. 3 § 13 (49. 16). [22] Leuncl. παρὰ τοῦ οἰκείου ἄρχοντος. [23] Leuncl. τιμωρείσθω. [24] L. 3 § 15 (49. 16).—Bas. 7 (57. 1). [25] Leuncl. νϛ'. [26] L. 3 § 4 § 13. L. 6 § 3 (49. 16) — Bas. 1. 6. 14 (57. 1). [27] L. 6 § 5 (49. 16).

δ'. Ἐάν τις τὸ χαράκωμα τὸ προσταγὲν αὐτῷ ἐξέλθῃ, ἢ διὰ τοῦ τείχους εἰς τὸ κάστρον εἰσέλθῃ, εἰς κεφαλικὴν κολάζεται τιμωρίαν· εἰ δὲ τὴν φόσσαν αὐτοῦ παρέλθῃ, τῆς στρατείας ἐκπίπτει [28].

ε'. Ὁ ἁμαρτάνων εἰς βασιλέα φονεύεται καὶ δημεύεται καὶ ἡ μνήμη αὐτοῦ κρίνεται μετὰ θάνατον [29].

ϛ'. Εἰ δέ τις βουλευσάμενος αὐτομολῆσαι πρὸς τοὺς βαρβάρους ἐπισχεθῇ, καὶ οὗτος εἰς κεφαλὴν τιμωρεῖται [30].

ζ'. Ὁ στρατιώτης τὴν στρατείαν αὐτοῦ καταλιμπάνων, ἢ μαστιγοῦται ἢ τῆς στρατείας αὐτοῦ ἀποκινεῖται [31].

η'. Οἱ τῶν ἀταξιῶν ἔξαρχοι καὶ οἱ τὸν Δῆμον θορυβοῦντες κατὰ τὴν τῆς οἰκείας ἀξίας ποιότητα ἀποτέμνονται ἢ ἐξορίζονται [32].

θ'. Ὁ πρὸς τοὺς πολεμίους ἀποφυγὼν καὶ ὑποστρέψας βασανίζεται, καὶ ἢ θηρίοις παραδίδοται ἢ εἰς φούρκαν καταδικάζεται [33].

ι'. Οἱ ἐπὶ ἀτιμίᾳ τῆς ἐξ οἱασοῦν αἰτίας ἐκπεσόντες τῆς στρατείας οὐδεμίαν τιμὴν δύνανται ἔχειν ἢ πράττειν [34].

ια'. Ὁ στρατιώτης κλέπτων ὅπλα ἀλλότρια τοῦ βαθμοῦ τῆς στρατείας ἐξωθεῖται [35].

ιϐ' Ἐάν τις ἀταξίαν τραχεῖαν στρατιωτῶν ὑφάψῃ καὶ διεγείρῃ, εἰς κεφαλὴν κολάζεται [36].

ιγ'. Εἰ δὲ ἄχρι φωνῆς μόνης τὴν στρατιωτικὴν ἀταξίαν παρεσκεύασε γενέσθαι, καὶ μέχρι ψιλῆς κατά τινων μέμψεως ἡ ἀταξία διανέστη, τότε τοῦ βαθμοῦ τῆς στρατείας ἀποϐάλλεται [37].

ιδ'. Καὶ ὅτε δὲ πολλοὶ ἅμα στρατιῶται συμπνεύσωσιν εἰς

[28] L. 3 § 17 et 18 (49. 16). — Bas. 8 (57. 1). [29] L. 5 et 6 C. (9· 8). Epanag. XL ιϐ. Proch. XXXIX 10. Harm. VI 14, 2. Basil. 19 (60. 36) cum. sch. [30] L. 3 § 11 (49. 16). [31] L. 3 § 5 (40. 16). [32] L. 28 § 3 (48. 19). Proch. XXXIX ϛ. Harm. VI 7, 10. [33] L. 3 § 10 (49. 16). Cnf. Nov. Leonis LXVII (Coll. II Zach. 163). [34] L. 3 C. (12. 36). [35] L. 3 § 14 (49. 16) — Bas. 7 (57. 1). [36] L. 4 § 19 (49. 16) — Bas. 9 (57. 1). [37] L. 3 § 20 (49. 16) — Bas. 9 (57. 1).

ἄτοπόν τι ἢ λεγεὼν αὐτῶν ἀτονίσῃ, ἀποστρατεύεσθαι εἰώθασι [38].

ιε'. Ὁ δεπορτατευόμενος, ἐὰν ἐκφυγὼν τὴν τιμωρίαν ἢ αὐτὸς ἐσπούδασε στρατευθῆναι παραπροσποιησάμενος τοῦ εἶναι δεπορτᾶτος ἢ ἠνέσχετο στρατευθῆναι, εἰς κεφαλὴν τιμωρεῖται [39].

ιϛ'. Ὁ δὲ πρὸς καιρὸν ἐξορισθεὶς, εἰ μὲν ἑκουσίως αὐτὸς στρατεύσηται, εἰς νῆσον δεπορτατεύεται· εἰ δὲ παραπροσποιήσηται καὶ ἀνάσχηται τῶν στρατευόντων αὐτὸν, διηνεκῶς ἐξορίζεται [40].

ιζ'. Ἐὰν δέ τις προσκαίρως ἐξορισθεὶς καὶ φυγὼν τὴν τιμωρίαν μετὰ τὸ περαιωθῆναι τὸν χρόνον τῆς ἐξορίας στρατεύσηται, ζητοῦμεν ἐκ ποίας αἰτίας κατεδικάσθη τῇ ἐξορίᾳ· καὶ εἰ μὲν ἀτιμίαν ἐπιφέρει, εἰς διηνεκὲς τὸ αὐτὸ παραφυλάττομεν [41].

ιη'. Οἱ ἐπὶ μοιχείᾳ ἢ ἐν ἄλλῳ ἐγκλήματι πουβλίκῳ κατακριθέντες οὐκ εἰσὶ δεκτοὶ βουλόμενοι στρατευθῆναι [42].

ιθ'. Ὅστις ἀποφεύγει τὸ στρατευθῆναι, στρατιωτικῶς κολάζεται, βαρὺ γὰρ ἁμάρτημα ἐστί, τὸ ἐκφυγεῖν τὰ λειτουργήματα τῆς στρατείας ἤ περ τὸ στρατευθῆναι· οἱ γὰρ προσκαλούμενοι ἐπὶ τὸ στρατευθῆναι καὶ ἀποφεύγοντες ὡς προδόται τῆς ἰδίας ἐλευθερίας καταδουλοῦνται [43].

κ'. Ἐάν τις τὸν ἴδιον υἱὸν ἐν καιρῷ πολέμου ὑφέληται τῆς στρατείας αὐτοῦ, καὶ ἐξορίζεται καὶ εἰς μέρος τῆς οὐσίας αὐτοῦ δημεύεται· εἰ δέ τις τὸν ἴδιον υἱὸν ἐν καιρῷ πολέμου ἀχρειώσῃ, ἵνα ἀνεπιτήδειος εὑρεθῇ πρὸς τὴν στρατείαν, ἐξορίζεται [44].

κα'. Ἐάν τις τῶν στρατιωτῶν χεῖρα ἐπιβάλῃ τῷ ἰδίῳ πραιποσίτῳ, κεφαλικῶς τιμωρεῖται [45].

κβ'. Εἴ τις τὸν ἴδιον στρατιώτην τραυματίσει, εἰ μὲν λίθῳ τοῦτο ποιήσει, ἀπωθεῖται τῆς στρατείας, εἰ ξίφει, κεφαλικῶς τιμωρεῖται [46].

[38] L. 3 § 21 (19. 16). [39] L. 4 § 2 (49. 16). [40] L. 4 § 3 (49. 16). [41] L. 4 § 4 (49. 16). [42] L. 4 § 7 (49. 16) — Bas. 2 (21. 2) et 12 (57. 1). Proch. a. XXXIX 160. [43] L. 4 § 10 (49. 16). [44] L. 4 § 11 (49. 16). [45] L. 6 § 1 (49. 16). [46] L. 6 § 6 (49. 16).

κγ΄. Ἐὰν στρατιώτης ἑαυτὸν πλήξῃ ἢ ἄλλως πως θάνατον ἑαυτῷ παρασκευάσῃ, εἰ μὲν ἦν αὐτῷ ἀλγηδὼν τοῦ σώματος, ἢ κατὰ πάθος ἢ κατὰ μανίαν τοῦτο ἐποίησεν ἢ αἰσχυνόμενος ἀποθανεῖν ἐβουλήθη, οὐχ ὑπομένει μὲν κεφαλικὴν τιμωρίαν, ἐφύβριστος δὲ τῆς στρατείας ἀπολύεται[47].

κδ΄. Ἐὰν δὲ μηδὲν τούτων προέσχεν, δι' ὧν ἐπεχείρησεν ἑαυτὸν ἀνελεῖν κεφαλικῶς τιμωρεῖται[48].

κε΄. Ὁ πρῶτος ἐν παρατάξει φεύγων ἐπ' ὄψεσι τῶν στρατιωτῶν κεφαλικῶς τιμωρεῖται[49].

κϛ΄. Εἰ δὲ καὶ οἱ ἐξπλοράτορες τοῦ ρωμαϊκοῦ στρατεύματος κρύφια βουλεύματα τῶν ρωμαίων ἀναγγείλωσι τοῖς πολεμίοις, κεφαλικῶς κολάζονται[50].

κζ΄. Καὶ ὁ κολλεγᾶτος στρατιώτης τὸν συστρατιώτην ξίφει τραυματίσας ἀποκεφαλίζεται[51].

κη΄. Ὁ διαταράττων τὴν εἰρήνην στρατιώτης κεφαλικῶς τιμωρεῖται[52].

κθ΄. Ὁ κλάσας τὴν φυλακὴν στρατιώτης καὶ ἐκφυγὼν κεφαλικῶς τιμωρεῖται[53].

λ΄. Τοῖς κατὰ οἶνον τε καὶ μέθην ἢ κατὰ ἄλλην τρυφὴν ὀλισθαίνουσιν καὶ ἁμαρτάνουσιν στρατιώταις ἡ κεφαλικὴ τιμωρία συγχωρεῖται, ἐπιφέρεται δὲ αὐτοῖς ἡ τῆς ἰδίας στρατείας ἐναλλαγή[54].

λα΄. Ὁ τὴν τάξιν αὐτοῦ ἐν πολέμῳ παρελθὼν ἢ ροπάλοις τύπτεται ἢ τὴν στρατείαν αὐτοῦ ἐναλλάττει[55].

λϐ΄. Ἐάν τινες φυλάττωσι πρόσωπα καὶ κατὰ ραθυμίαν ἀπολέσωσιν αὐτά, ἢ τύπτονται ἢ τὴν στρατείαν ἀποϐάλλειν ὀφείλουσιν[56].

[47] L. 6 § 7 (49. 16). Cnf. L. 38 § 12 (48. 20). [48] L. 6 § 7 (49. 16). [49] L. 6 § 3 (49. 16). [50] L. 38 § 1 (48. 19). L. 6 § 4 (49. 16). [51] L. 6 § 6 (49 16). [52] L. 16 § 1 (49. 16). [53] L. 13 § 5 (49. 16). L. 38 § 11 D. (48. 19). Proch. XXXIX a. 230 — Bas. 4 (60. 35). Cnf. L. 1 pr. D. (47. 18). Harm. VI 14, 10. [54] L. 6 § 7 (49. 16). Cnf. L. 12 pr. (48. 3). [55] L. 3 § 16 (49. 16) — Bas. 7 (57. 1). [56] L. 13 § 5. D. (49. 6). l. 14 § 2. (48. 3) — Bas. 14 (60. 35).

λγ΄. Εἰ δὲ κατὰ οἶκτον ἀπολέσωσι τὰ πρόσωπα, ἐκπίπτουσι τῆς στρατείας[57].

λδ΄. Εἰ δὲ κατὰ πανουργίαν, κεφαλικῶς τιμωροῦνται ἢ εἰς τὸν ἔσχατον βαθμὸν τῆς στρατείας αὐτῶν καταφέρονται[58].

λε΄. Ἐὰν ὁ στρατιώτης πρὸς τὸν μοιχὸν αὐτοῦ συμφωνήσῃ, ἀποστρατεύεται καὶ δημεύεται[59].

λς΄. Οἱ ἔξαρχοι καὶ οἱ ὁπωσοῦν διασώζοντες τὸ στράτευμα, ἐὰν ἀργυρολογῶσι τὰ χωρία, τὸ διπλάσιον καταδικάζονται[60].

λζ΄. Ἐάν τις μέχρι φωνῆς μόνης στρατιωτικὴν ἀταξίαν παρασκευάσῃ γενέσθαι, ἢ καὶ πολλοὶ εἰς τοῦτο συμπνεύσωσι, τυπτόμενοι σφοδρῶς τῆς στρατείας ἐξωθοῦνται[61].

λη΄. Ἐὰν δὲ ἀταξίαν τραχεῖαν στρατιωτῶν ὑφάψῃ καὶ διεγείρῃ, ἀποτέμνεται[62].

λθ΄. Ἐὰν στρατιώτης ἐναντιωθῇ τῷ ἰδίῳ ἄρχοντι, βουλομένῳ αὐτὸν τυπτῆσαι, εἰ μὲν κατέσχε μόνον τὴν ῥάβδον, τῆς στρατείας ἐξωθεῖται· εἰ δὲ ἐξεπίτηδες ἔκλασεν αὐτὴν ἢ χεῖρας ἐπέβαλεν αὐτῷ, κεφαλικῶς κολάζεται[63].

μ΄. Ἐὰν ἴδιον ἔξαρχον οἱ στρατιῶται ἐγκαταλίπωσιν, ἢ παραχωρήσωσιν ὑπὸ ἐχθρῶν αὐτοῦ αὐτὸν συσχεθῆναι, καὶ μὴ ὑπερασπίσωσιν αὐτοῦ δυνάμενοι αὐτὸν διαφυλάξαι, κἀντεῦθεν συμβῇ αὐτὸν τελευτῆσαι, κεφαλικῶς τιμωροῦνται[64].

μα΄. Ὁ ἀφορισθεὶς εἰς παραφυλακὴν τοῦ παλατίου καὶ καταλιπὼν τὰς περὶ αὐτὸν ἀγρυπνίας καὶ ἐξκούβιτα ἐσχάτως τιμωρεῖται, καὶ φιλανθρωπίας ἀξιούμενος τυπτόμενος ἐξωθεῖται[65].

μβ΄. Ὁ εἰς βαρβάρους ἀπιών, ἢ προφάσει πρεσβείας παραγινομένων αὐτῶν, ὅπλα πιπράσκων εἰργασμένα ἢ ἀνέργαστα ἢ τὸ οἱονοῦν σίδηρον, τῇ ἐσχάτῃ ὑπόκειται τιμωρίᾳ[66].

Harm. VI 14, 10. [57] Dig. eod. [58] Dig. eod. [59] L. 11 pr. D. (48. 5). Cnf. L. 4 § 7 (49. 16). [60] Nov. 130 c. 4. [61] L. 3 § 20. D. (49. 16). Epanag. XL. ς. [62] L. 3 § 19. D. (49. 16). [63] L. 6 § 1. L. 13 § 4 (49. 16) — Bas. 14 (57. 1). [64] L. 3 § 22 L. 6 § 8 (49. 16) — Bas. 16. (57. 1). [65] L. 10 pr. (49. 16). [66] L. 2 C. (4. 41) — Basil. 84. 85. 86 (19. 1). Epanag. XL ια΄. Proch. XXXIX θ΄.

μγ'. Ὁ τοὺς πολεμίους ἐρεθίζων ἢ παραδιδοὺς τοῖς πολεμίοις ρωμαίους ὡσαύτως τιμωρεῖται[67].

μδ'. Ὁ βουλόμενος αὐτομολῆσαι πρὸς βαρβάρους, ἐὰν ἐπισχεθῇ, κεφαλικῶς τιμωρεῖται[68].

με'. Τοὺς δ' ἐκ τῶν ρωμαϊκῶν μερῶν πρὸς τοὺς πολεμίους ἀποφεύγοντας ὡς πολεμίους ἔξεστιν ἀκινδύνως φονεύειν[69].

μϛ'. Ἐὰν οἱ ἐξπλοράτορες τοῦ ρωμαϊκοῦ στρατεύματος ἀπαγγείλωσι τοῖς πολεμίοις τὰ ἀπόκρυφα βουλεύματα τῶν ρωμαίων, κεφαλικῶς τιμωροῦνται[70], ὡσαύτως καὶ τὴν εἰρήνην διαταράττοντες[71].

μζ'. Ἐὰν στρατιώτης ἐν καιρῷ πολέμου πρᾶγμα ἀπηγορευμένον αὐτῷ παρὰ τοῦ οἰκείου ἄρχοντος ποιήσῃ ἢ τὰ παρ' αὐτοῦ ἐνταλθέντα αὐτῷ μὴ φυλάξῃ, ἐσχάτως τιμωρεῖται, εἰ καὶ καλῶς τὸ πρᾶγμα διῴκησε[72].

μη'. Ὁ λίθῳ τραυματίσας στρατιώτην ἢ καὶ ἑαυτὸν ἐξεπίτηδες τραυματίσας, εἰ μὴ φεύγων σώματος ἀλγηδόνα ἢ πάθος ἢ θάνατον τοῦτο εἰς ἑαυτὸν ἐποίησε, τυπτόμενος τῆς στρατείας ἐξωθεῖται[73].

μθ'. Ὁ στρατιώτης κλέπτων ἐν οἱῳδήποτε τόπῳ τὸ οἱονοῦν εἶδος καὶ τὰ διπλάσιον παρέχει καὶ τῆς στρατείας ἀποβάλλεται[74].

ν'. Ὁ δὲ κεφαλικὴν καταδικασθεὶς τιμωρίαν ἢ ἐξορίαν ἢ ἑτέρῳ πουβλίκῳ ἐγκλήματι καὶ τὴν τιμωρίαν διαφυγεῖν δυνηθεὶς, οὐδέποτε στρατεύεσθαι[75].

να'. (*Περὶ στρατιωτικῆς καταστάσεως ἐκ τοῦ ΞΔ' τίτλου τοῦ Δ' βιβλίου*). Οἱ στρατιῶται, οὔτε διοικηταὶ, οὔτε μισθωτοὶ, οὔτε ἐγγυηταὶ ἀλλοτρίων πραγμάτων γίνονται· μηδέποτε δὲ γεωργίαις ἀπασχολείσθωσαν ἢ ἐμπορίαις, μήτε πολιτικὴν φροντίδα

[67] L. 9 C. (12. 36). Epanag. XL 1. Proch. XXXIX α'. Harm. VI 8, 5. Cnf. C. l. 3 (48. 4) — Bas. 3 (60. 36). [68] L. 3 § 11 (49. 16). [69] Dig. L. 3 § 6 (48. 8). Epanag. LX γ'. Proch. XXXIX γ'. Basil. 3 (60. 39). Harm. VI 8, 1. [70] L. 6 § 4 (49. 16). [71] L. 16 § 1 (49. 16). Cnf. Ducangii Gloss. V° Ἐξπλοράτωρ. [72] L. 3 § 15 (49. 16) [73] L. 6 § 6 et 7 (49. 16). [74] L. 1 § 14 (49. 16). [75] L. 4 § 1. 2. 7. D. (49. 16).

εἰς ἑαυτοὺς λαμβανέτωσαν, ἐπεὶ τῆς στρατείας καὶ τῶν στρατιωτικῶν προνομιῶν ἐκβάλλονται [76].

IV

Ποινάλιος κατὰ αἱρετικῶν, μανιχαίων καὶ τῶν λοιπῶν αἱρέσεων καὶ κατὰ ἐπαοιδῶν καὶ φαρμακῶν.

α΄. Οἱ αἱρετικοὶ μὴ διδασκέτωσαν ἢ ἐμφανιζέτωσαν τὴν ἀπιστίαν αὐτῶν, μήτε ποιείτωσαν κληρικούς [1].

β΄. Αἱρετικός δέ ἐστι καὶ τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκειται νόμοις ὁ μικρὸν γοῦν ἐκκλίνων τῆς ὀρθοδόξου πίστεως [2].

γ΄. Ἡ ὀρθόδοξος ἐκκλησία τὰ τῶν αἱρετικῶν συνακτήρια λαμβάνει, κἂν ἐν ἰδιωτικοῖς οἴκοις ὦσιν· οὐ λιτανεύουσι δὲ νύκτωρ ἢ μεθ' ἡμέραν· εἰ δέ τι τοιοῦτον δημοσίᾳ ἢ ἐν ἰδιωτικῷ οἴκῳ γένηται, ἡ μὲν τάξις τοῦ ἐπάρχου συγχωροῦσα ἑκατὸν λίτρας προστιμᾶται, οἱ δὲ ἐπιχώριοι πεντήκοντα προστιμῶνται [3].

δ΄. Πούβλικόν ἐστι τὸ κατὰ τῶν μανιχαίων καὶ δονατιστῶν ἔγκλημα, ὅπερ εἰς ὕβριν τοῦ θεοῦ φέρεται, καὶ οὐκ ἔχουσί τι κοινὸν πρὸς τὰ ἔθνη ἢ τοὺς νόμους, καὶ δημεύονται καὶ πάσης στεροῦνται φιλοτιμίας τε καὶ διαδοχῆς, καὶ οὔτε πωλοῦσιν, οὔτε ἀγοράζουσιν· τιμωροῦνται δὲ καὶ οἱ κρύπτοντες αὐτοὺς ἐν εἰδήσει [4].

ε΄. Τὰ προφάσει τῆς θρησκείας φιλοτιμηθέντα προνόμια οὐκ ἔχουσιν οἱ αἱρετικοί, ἀλλὰ καὶ ταῖς λειτουργίαις ὑπόκεινται [5].

ς΄. (*Ἄλλο περὶ τῶν Ἰουδαίων*). Οὔτε τυχεῖν ἀξιώματος Ἰουδαῖος δύναται, οὔτε ἀρχὴν πράττειν, οὔτε στρατείαν ἔχειν, ὑπόκειται δὲ τῇ τύχῃ τῶν κουρτελλίνων καὶ τοῖς ἐντεῦθεν βά-

[76] L. 13 pr. § 1 (49. 16).

[1] Summa l. 2 pr. C. (1. 5) — Basil. 22 (1. 1). ZA: XL (Ἀνέκδ. p. 192).
[2] L. 2 § 1 C. (1. 5). ZA: ibid. [3] L. 3 C. (1. 5). — Basil. 23 (1. 1). [4] L. 4 C. (1. 5). — Basil. 24 (1. 1). Haec. §§ abud Z: desunt. [5] L. 1 C. (1. 5). — Basil. 10 (3. 3).

ρεσιν· ὁ δὲ τῶν εἰρημένων ἐντὸς γενέσθαι σπουδάσας καὶ τούτων ἐκπίπτει καὶ ποινῇ ζημιοῦται τριάκοντα τοῦ χρυσίου λίτρας.[6]

ζ'. Ἑτέρου δὲ τῶν γονέων βουλευομένου τὸν παῖδα γενέσθαι χριστιανόν, ἡ τούτου γνώμη κρατείτω· δεῖ δὲ αὐτὸν καὶ τρέφειν τὸν παῖδα καὶ τὰ πρὸς ἀναγκαίαν δαπάνην χορηγεῖν προῖκά τε ὑπὲρ θυγατρὸς ἐπιδιδόναι[7].

η'. Οἱ αἱρετικοὶ συνακτήρια ποιεῖν οὐ δύνανται ἢ παρασυνάξεις ἢ συνόδους ἢ χειροτονίας ἢ βαπτίσματα, ἢ ἐξάρχους ἔχειν, ἢ πατερίας ἢ ἐκδικίας ἐγχειρίζεσθαι ἢ φροντίζειν, ἢ διοικεῖν χωρία δι' ἑαυτῶν ἢ διὰ παρενθέτων προσώπων, ἤ τι τῶν ἄλλων ἀπηγορευμένων ποιεῖν· ὁ δὲ παραβαίνων ἐσχάτως κινδυνεύει[8].

θ'. (*Ἄλλο*). Ὁ ἀπὸ μανιχαίων γενόμενος ὀρθόδοξος, ἐὰν εὑρεθῇ τὰ τῆς πλάνης ποιῶν ἢ ψιλῶς συνδιάγων ἢ ὁμιλῶν μανιχαίοις καὶ μὴ παραχρῆμα παραδιδοὺς αὐτοὺς νομίμῳ δικαστῇ, ἐσχάτως τιμωρεῖται[9].

ι'. Καὶ οἱ ἐν ἀξίαις καὶ στρατείαις ὄντες ἐπιμελῶς τοὺς ἐν αὐτοῖς τοιούτους ὄντας ἀναζητείτωσαν καὶ παραδιδότωσαν[10].

ια'. Ἐπισυλλαμβανόμενος δὲ μανιχαῖος, ἐὰν εἴπῃ γινώσκεσθαι παρά τινων, ἁρμοδίως τιμωροῦνται, ὡς τὰ αὐτὰ ἁμαρτάνοντες, κἂν μὴ ἦσαν τοιοῦτοι· τὰ αὐτὰ γὰρ ἁμαρτάνειν δοκοῦσιν οἱ γινώσκοντες μὲν τὸν ἁμαρτάνοντα, μὴ ποιοῦντες δὲ τοῦτον κατάδηλον[11].

ιβ'. Ὁ ἔχων βιβλία μανιχαϊκὰ καὶ μὴ φανερῶν αὐτὰ ἐπὶ τῷ καυθῆναι τιμωρεῖται[12].

ιγ'. Αἱ τῶν σαμαρειτῶν συναγωγαὶ καθαιροῦνται, καὶ ἐὰν ἄλλας ἐπιχειρήσωσι ποιῆσαι, τιμωροῦνται[13].

[6] L. 19 C. (1. 9). — Basil. 47 (1. 1) et 31 (60. 54). Nov. Theodos (3. 1). De verbo κουρτελλίνων conferas Ducangii Gloss. in v° Κορτελίνοι Κορταλίνοι cohortalini et scholium Thalelei in Bas. 56 (45.1) [7] L. 12 C. (1.5).—Basil. 30 (1.1).Photii Nomoc.XII 2. (S.I.264). [8] L. 14 C. (1.5).ZA: XLIII ('Ανέκδ. p. 192). [9] L. 16 (1. 5). Epan. XL λ. Proch. XXXIX κη. Harm. VI 11, 7. ZA: XLIV ('Ανέκδ. 193). [10] ibid. [11] ibid. [12] ibid. [13] L. 17 C. (1. 5). ZA: XLVI ibid.

ιδ'. Οἱ αἱρετικοὶ κοινωνοῦντες ἢ συνάξεις ἢ βαπτίσματα [14] ποιοῦντες, τιμωροῦνται ὡς οἱ τοὺς νόμους παραβαίνοντες [15].

ιε'. Οἱ ἀρειανοί, καὶ οἱ μακεδονιανοὶ πνευματομάχοι, καὶ ἀπολλιναρισταί, νοβατιανοὶ ἤγουν σαββατιανοί [16], εὐνομιανοί, τετραδῖται ἤγουν τέσσαρες καὶ δεκαδῖται, βαλεντινιανοί, παπιανισταί [17], μοντανισταί [18], βορβοριανοί, μεσαλιανοί, εὐτυχῖται ἤγουν ἀθυσιασταί, δονατισταί, αὐδιανοί, ὑδροπαραστάται, ἀσκοδροῦγοι, βαθρακῖται, ἑρμογενιανοί, φωτεινιανοί [19], παυλιανοί, μαρκουλιανοί, ὀφῖται, ἐγκρατηταί [20], ἀποτακτῖται, σακκοφόροι, καὶ οἱ πάντων χείρονες μανιχαῖοι, οὐ δύνανται συνάγεσθαι ἢ εὔχεσθαι, οἱ δὲ [21] μανιχαῖοι τῶν πόλεων ἐλαύνονται [22] καὶ ἐσχάτως τιμωροῦνται [23].

ις'. (*Ἄλλο ἐκ τοῦ αὐτοῦ*). Ὁ ἀπὸ χριστιανῶν γενόμενος Ἰουδαῖος δημεύεται [24].

ιζ'. Ὁ ὀρθόδοξος κληρικὸς ἢ μοναχός, θρησκεύων τὰ εὐτυχοῦς ἢ ἀπολλιναρίου, ὑπόκειται τοῖς κατὰ αἱρετικῶν νόμοις καὶ τῆς ρωμαϊκῆς ἐξωθεῖται πολιτείας κατὰ τὰ περὶ μανιχαίων νομοθετηθέντα [25].

ιη'. Ὁ ἀναβαπτίζων ὀρθόδοξον σὺν αὐτῷ ἐσχάτως τιμωρεῖται, εἴγε ἡλικίας ἦν δεκτικῆς ἐγκλήματος [26].

ιθ'. Ἐπίσκοπος δεύτερον τὸν αὐτὸν βαπτίζων καθαιρείσθω [27].

κ'. (*Βιβλίον πρῶτον τῶν διγέστων*). Οἱ ἀποστάται καὶ θυσίας καὶ ναοὺς ποιοῦντες κατηγορείσθωσαν ἀπὸ παντὸς ἀν-

[14] ZA: XLVII βάπτισμα. [15] L. 20 C. (1. 5) — Basil. 33 (1.1). ZA: ibid. [16] ZA: non habet. [17] ZA: addit ἤγουν φρύγες ἤγουν πεπουζῖται. [18] ZA: non habet. [19] Verba Ἑρμογενιανοί, Φωτινιανοὶ A. non habet; lacunam ex Codice supplevi. [20] ZA: verba, παυλιανοί, μαρκουλιανοί, ὑφῖται, ἐγκρατηταὶ non habet. [21] ZA: non habet. [22] ZA: ἐκβάλλονται. [23] L. 5 C. (1. 5) — Bas. 25 (1. 1). ZA: XLII. [24] L. 1 C. (1. 7) — Basil. 22 (60. 54). [25] L. 6 C (1. 7) — Basil. 27 (60. 54). ZA. p. 193. [26] L. 2 C (1. 6). Cnf. Photii Nomoc. IV 13 (S. I 126). [27] L. 1 C (1. 6) — Basil. 7 (3. 1). Photii Nomoc. ibid. SS. Apost. c. MZ. (S. II 62). Matth. Blast. B. α' (S. VI 114). ZA, ibid.

θρώπου· καὶ εἰ μὲν ὑπὸ ἑλλήνων χριστιανοὶ ἐγένοντο καὶ ἐβαπτίσθησαν, τῇ ἐσχάτῃ ὑπόκεινται τιμωρίᾳ[28].

κα΄. Οἱ μετὰ βάπτισμα[29] τῇ πλάνῃ τῶν ἑλλήνων ἐπιμένοντες ἐσχάτως τιμωροῦνται· οἱ δὲ μήπω βαπτισθέντες ἑαυτοὺς καὶ παῖδας καὶ γαμετὰς καὶ πάντας τοὺς ἑαυτῶν προσαγέτωσαν[30] ταῖς ἁγίαις ἐκκλησίαις· καὶ τὰ μὲν αὐτῶν τέκνα μικρὰ ὄντα χωρὶς ἀναβολῆς βαπτίζονται, οἱ δὲ τέλειοι πρότερον τὰς γραφὰς καὶ τοὺς κανόνας διδάσκονται[31].

κβ΄. Εἰ δὲ διὰ τὸ τυχεῖν στρατείας ἢ ἀξίας ἢ οὐσίαν ἔχειν σχηματίζονται βαπτίζεσθαι, καὶ τοὺς παῖδας ἢ τὰς γαμετὰς αὐτῶν ἢ τοὺς ἐν τοῖς οἴκοις αὐτῶν ἐπὶ τῆς πλάνης ἐάσωσι καὶ τοὺς αὐτοῖς προσήκοντας[32], δημεύονται καὶ δεόντως τιμωροῦνται καὶ τῆς πολιτείας οὐ μετέχουσιν[33].

κγ΄. Εἰ δὲ φανῶσι θυσιάζοντες ἢ εἰδωλολατροῦντες ἐσχάτως ὡς οἱ[34] μανιχαῖοι τιμωροῦνται[35].

κδ΄. Ὁ σαμαρείτης ἢ ἰουδαῖος τῆς τῶν χριστιανῶν πίστεως ἀποστῆσαί τινα[36] πειραθείς, καὶ δημεύσει ὑποβάλλεται καὶ τὴν κεφαλὴν ἀποτέμνεται[37].

κε΄. Οἱ τὸν οὐρανὸν θρησκεύοντες τοῖς κατὰ τῶν αἱρετικῶν ὑπόκεινται νόμοις καὶ τὰ συνακτήρια αὐτῶν ἡ ἐκκλησία λαμβάνει· τὸ γὰρ ἀπᾷδον τῇ χριστιανικῇ πίστει ἐναντίον αὐτῇ ἐστίν[38].

κϛ΄. (*Τῆς ἐν Νικαίᾳ συνόδου*). Μανιχαῖοι βαπτίζονται· Φρύγες βαπτίζονται· παυλιανοὶ[39] βαπτίζονται, φωτεινιανοὶ βα-

[28] Cnf. L. 10 C. (1. 11) — Basil. 20 (1. 1). [29] ZA: XXXVIII, p. 192. Οἱ μετὰ τὸ ἅγιον βάπτισμα. [30] ZA: προσαγαγέτωσαν. [31] L. 10 (1. 11) — Basil. eod. Matth. Blast. A, α (S. VI 57). [32] A: verba ἢ τὰς γαμετὰς αὐτῶν ἢ τοὺς ἐν τοῖς οἴκοις αὐτῶν ἐπὶ τῆς πλάνης ἐάσωσιν καὶ τοῖς αὐτοῖς προσήκοντας omittit. [33] C. 10 fin. (1. 11) — Basil. eod. [34] ZA: non habet. [35] ZA: ibid. [36] ZA: τινας. [37] L. 18 C (1. 9) l. 5 (1. 7) — Basil. 30 (60. 54). Photii Nomoc. IX 25 (S. I 197). [38] ZA: L. ibid. Est. l. 12. C. (1. 9) — Basil. 42 (1. 1). [39] Z: Παυλιανίσται. Apud. Matth. Blast. Παυλικιανοὶ (S. VI 63).

πτίζονται· ναυατιανοὶ χρίονται· ἀπολλιναρισταὶ ἀπαγγέλλουσιν τὴν ἐν Νικαίᾳ ἐκτεθεῖσαν πίστιν[40].

V

α'. (*Τοῦ ε' βιβλίου τοῦ κώδικος τίτλος ϛ'. Περὶ τοῦ μὴ ἔχειν τοὺς ἐμφανεῖς γυναῖκα ἀπόβλητον*). Οἱ συγκλητικοὶ μὴ ἀγέσθωσαν[1] ἀπερριμένας γυναῖκας, οἷον δούλην ἢ θυγατέρα ταύτης· ὁμοίως ἀπελευθέραν ἢ ταύτης παῖδα ἢ σκηνικὴν ἢ ἐργαστηριάρχισσαν ἢ θυγατέρα τούτων ἢ πορνοβοσκοῦ ἢ ἀρεναρίου θυγατέρα[2].

β'. Μηδεὶς τὴν τοῦ ἀδελφοῦ γαμετὴν ἀγέσθω, κἂν παρθένος ἔτι ἐστίν· οὐδὲ γὰρ τῇ συναφείᾳ γάμος, ἀλλὰ τῇ διαθέσει συνίσταται· οὐδὲ παῖδες οἱ ἐντεῦθεν τικτόμενοι, ὑφεξῃρημένων τῶν αἰγυπτίων[3].

γ'. Μηδεὶς ἀπὸ φιλοτιμίας βασιλικῆς ἀθέμιτον συναλλασσέτω γάμον, οἷον πρὸς θυγατέρα ἀδελφῆς ἢ γυναῖκα ἀδελφοῦ[4], ἀλλὰ καὶ τὰ γεγονότα ἀνατραπήσεται[5].

δ'. (*Βιβλίον θ'. τοῦ κώδικος τίτλος ια*). Ἐὰν γυνὴ μιγῇ κατ' ἐπιθυμίαν τῷ ἰδίῳ δούλῳ, αὐτὴ μὲν ἀποτέμνεται[6], ὁ δὲ οἰκέτης καιέσθω· μηνυέτω δὲ τὸ τοιοῦτον καὶ ἡ τάξις[7], καὶ δοῦλος ἐλευθερίᾳ τιμώμενος· οἱ μέν τοι ἐξ αὐτῶν παῖδες μήτε ἀξιώματος μήτε ἄλλης τιμῆς μεταλαμβανέτωσαν· ἀρκεῖ γὰρ αὐτοὺς ἐλευθέρους εἶναι[8].

ε'. Μηδὲν δὲ ἐχέτωσαν ἀπὸ τῆς μητρὸς ἢ ἐξ ἀδιαθέτου ἢ ἐκ διαθήκης· ἀλλ' εἰ μὲν παῖδες ὕπεισιν αὐτῇ γνήσιοι ἢ συγγε-

[40] Cnf. Conc. Laodic. C. 7 et 8 (S. III 177) Matth. Blast. A' 6. (S. VI 61) Cnf. et Photii Nomoc. IV 14. (S. I 129). ZA: L.

[1] ZA: ἀγαγέσθωσαν. [2] L. 7 C (5. 5) Cnf. Demetrii Syncelli dissert. (S. V 363). ZA: VI 186. [3] ZA: VII 187 addit τῶν ἤδη τοῦτο ποιησάντων. Est summa l. 8 C (5. 5). [4] A: γυνεκαδελφοῦ. [5] L. 2 C. (5. 8). 2 (5.5). ZA: ibid. [6] ZA: IX ibid. ἀποτεμνέσθω. [7] L. un. C. (9. 11). [8] Cod. ibid.

νεῖς, αὐτοὶ κληρονομείτωσαν αὐτήν, λαμβάνοντες καὶ τὰ καταλελειμμένα ἢ τῷ ἐραστῇ αὐτῆς ἢ τοῖς ἐξ αὐτοῦ παισίν[9].

VI

α'. (*Διάταξις περὶ φονέων καὶ γοήτων κ*). Τῷ περὶ φονέων καὶ γοήτων κατέχεται ὁ ποιήσας φάρμακα ἐπὶ ἀναιρέσει ἀνθρώπων ἢ ἐσχηκὼς ἢ πωλήσας, καὶ ὁ δημοσίως δηλητήρια ἀναιρετικὰ πιπράσκων ἢ ἔχων ἐπὶ ἀναιρέσει ἀνθρώπων[1].

β'. Εἰσὶ δὲ καὶ καλὰ φάρμακα· τὸ γὰρ ὄνομα τοῦ φαρμάκου τῶν μέσων ἐστί, καὶ περιλαμβάνει καὶ τὰ πρὸς ὑγείαν κατασκευαζόμενα φάρμακα καὶ τὰ πρὸς ἀναίρεσιν· ἔτι μὴν καὶ τὰ ἐρωτικὰ ἤτοι φίλτρα λεγόμενα· ἐπενήνεκται δὲ τῷ νόμῳ ὁ ἐπὶ ἀναιρέσει ἀνθρώπων ἐσχηκὼς τοιοῦτον φάρμακον· ἀπὸ δὲ δόγματος συγκλητικῶν ἐξορισθῆναι ἐκελεύσθη ἡ μὴ κακῇ μὲν προαιρέσει, κακῷ δὲ ὑποδείγματι, παρεσχηκυῖα φάρμακον[2].

γ'. Ὁ μοιχὸς καὶ οἱ μέσοι καὶ οἱ ὑπουργοὶ τῷ τοιούτῳ ἀσεβήματι γεγονότες κεφαλικῇ ὑποβάλλονται τιμωρίᾳ[3].

δ'. (*Ἀθανασίου σχολαστικοῦ ἐκ τῶν διγέστων καὶ τοῦ θ βιβλίου τοῦ κώδικος*)[4]. Ἐὰν οἱῳδήποτε τρόπῳ ἡ γυνὴ τῇ ζωῇ τοῦ ἀνδρὸς ἐπεβούλευσε[5], ἢ τοῖς τοῦτο πράξασι συνειδυῖα μὴ ἐφανέρωσε τῷ ἀνδρί, ἢ παρὰ γνώμην τοῦ ἀνδρὸς ἀνδράσιν ἐξωτικοῖς συμποσιάσῃ ἢ συλλούηται, ἢ ἐὰν μὴ βουλομένου τοῦ ἀνδρὸς ἐξώκοιτος γένηται χωρὶς τῶν ἰδίων γονέων, χωρίζεται[6].

ε'. (*Ἐκ τοῦ ποιναλίου ἰωάννου κουβιδίου*)[7]. Οἱ εἰς βλά-

[9] Cod. ibid.

[1] L. 3 pr. § 1 Dig. (48. 8) — Basil. 3 (60. 39). [2] L. 3 § 2 Dig. (48. 8) — Bas. ibid. Cnf. Photii Nomoc. IX 25 (S. I 197). ZA: XXXIII 191. [3] Proch. XXXIX με' Basil. 72 (60. 37). Matth. Blast. M. ιδ (S. VI 378). Harm. VI 2, 19. ZA: XXXIV ibid. Cnf. L. 236 (50. 16)—Basil. 227 (2. 2). [4] Athan. X, 9 ('Ανέκδ. Heimb. 126). Cnf. notam 90 in 'Ανέκδοτα Zachariaei p. 191. [5] ZA: ἐπιβουλεύσει. [6] ZA: XXXV ibid. Nov. 117. [7] ZA: addit ἀντικήνσορος.

6ην ἀνθρώπων δαίμονας ἐπικαλούμενοι θηρίοις παραδιδόσθωσαν[8].

ς'. Ὁ μοιχεύων τὴν ὑπὸ πολλῶν διὰ κέρδος ἀφανιζομένην οὐ κατέχεται τῷ περὶ μοιχείας ἐγκλήματι, ὡς οὐδὲ ὁ μοιχεύων τὴν ἐν ἐργαστηρίῳ ὑπηρετοῦσαν[9].

ζ'. (*Ἄλλο ἐκ τοῦ αὐτοῦ μη' κώδικος τῶν διγέστων*). Ἐὰν γυνὴ λαβοῦσα χρήματα παρὰ τῶν ἰνστιτούτων κληρονόμων καὶ διά τινος φαρμάκου ἐκτρώσῃ, κεφαλικῶς τιμωρεῖται[10].

η'. Οἱ ἐπὶ τῷ ἐκτρῶσαι παρέχοντες πόμα, ἢ ἐρωτικὸν ἢ καὶ μή, κατὰ δόλον τοῦτο ποιοῦσι· ἐπειδὴ κάκιστόν ἐστι τὸ ὑπόδειγμα, εὐτελεῖς μὲν ὄντες, μετάλλῳ παραδίδονται, σεμνότεροι δέ, εἰς νῆσον ἐξορίζονται δημευόμενοι εἰς μέρος· εἰ δὲ εἰς τοῦτο τελευτήσῃ ἡ γυνὴ ἢ ἄνθρωπος, τὴν ἐσχάτην ὑπομένουσι τιμωρίαν[11].

θ'. Ὁ φάρμακον ἀντὶ ἰατρείας δόλῳ[12] δεδωκὼς ὑπόκειται τῷ ἔργῳ καὶ ὡς αἰτίαν θανάτου παρασχὼν τιμωρεῖται· καὶ ὁ προπετῶς δοὺς φάρμακον, ὡς ὁ ξίφος τῷ μαινομένῳ[13].

ι'. Ἰατρίνη[14], εἰ μὲν τῇ δούλῃ δῷ φάρμακον, ἡ δὲ τελευτήσει λαβοῦσα, χώρα τῇ τὸ ἔργον[15]· εἰ δὲ χερσὶν οἰκείαις ἡ ἰατρίνη τὸ φάρμακον ἐπέβαλε, ὁ ἀκουίλιος ἁρμόζει, ὡς ὅτε τις ἀλείψῃ τινὰ φάρμακον ἢ ἐμβάλῃ αὐτὸ διὰ στόματος ἢ κλυστῆρος βίᾳ ἢ συμβουλῇ[16].

ια'. Οὐ διαιροῦνται μεταξὺ τῶν κληρονόμων τὰ ἐν τῇ κλη-

[8] ZA: XXXVI. L. 6 C. (9. 18) — Basil. 27 (60. 39). Photii Nomoc. IX 25 (S. I 192). [9] ZA: XXXVI 2. Est ex Theodori summa ad l. 22 C. (9. 9) — Basil. 62 (60. 37). cum sch. [10] L. 39 Dig. (48. 19) — Basil. 35 (60. 51). Cnf. Photii Nom. XIII 10 (S. I 312). Epitom. XLV ιζ. [11] L. 38 § 5 Dig. (48. 19) — Basil. 34 (60. 51) 3 (60. 39) Nomoc. XIII 10 (S. I 312). Matth. Blast. Γ. κη. (S. VI 200). Epitom. XLV κ'. [12] Pro δόλῳ legitur δούλῳ apud Matth. Blast. (S. VI 361). [13] Verba ξίφος τῷ μαινομένῳ δεδωκὼς ex Basil. supplevi. Cnf. L. 7 § 6. l. 8 pr. Dig. (9. 2) — Basil. 7 (60. 3) (ed. Heimb. V p. 269 270). Epanag. auct. XLIII 19. Epitom. XLV ικ'. [14] A: ἰατρίνα. [15] A: χωρᾶται τὸ ἔργον. Scil. χώρᾳ τῇ in factum. [16] L. 9 pr. § 1 Dig. (9. 2) — Basil. 9 (60. 3) cum schol. Epitom. XLV ιθ.

ρονομίᾳ εὑρεθέντα φάρμακα ἢ μαγικὰ βιβλία ἢ τὰ ὅμοια, ἀλλ' ὑπὸ τῆς ἐξουσίας τοῦ δικαστοῦ φθείρονται[17].

ιϐ'. Τὰ κακὰ φάρμακα οὐ πιπράσκονται· εἰ μέν τι δεχόμενον μίξιν χρησιμεύει, ὡς ἐπὶ τῆς ἀντιδόσεως[18] πιπράσκεται[19].

ιγ'. (*Ἄλλο, βιϐλίον κη τίτλος κ*). Κατέχεται καὶ ἀποκεφαλίζεται ὁ διὰ τὸ φονεῦσαι ἄνθρωπον φάρμακον ποιῶν ἢ πιπράσκων ἢ ἔχων[20].

ιδ'. Εἰσὶ δὲ φάρμακα ὑγείαν ἐμποιοῦντα καὶ τὰ λεγόμενα φίλτρα.

ιε'. Εἰ δὲ καί τις μὴ κακῷ λογισμῷ δώσῃ γυναικί συλληπτικὸν καὶ τελευτήσει ἡ λαϐοῦσα, ἐξορίζεται, καὶ ὁ πιγμεντάριος προπετῶς διδούς τινι κώνειον ἢ σαλαμάνδραν ἢ ἀκόνιτον ἢ πιτυοκάμπην ἢ βούϐρωστον ἢ μανδραγόραν ἢ κανθαρίδας· (*ὡς ἡ τρίτη διάταξις· ἀνάγνωσον καὶ πρώτην διάταξιν τοῦ αὐτοῦ βιϐλίου*)[21].

ιϛ'. (*Περὶ τοῦ αὐτοῦ διάταξις*). Ὁ ποιῶν ἢ ἔχων ἀπηγορευμένας θυσίας τῷ ἀποκεφαλισμῷ ὑπόκειται[22].

ιζ'. Ὁ ποιῶν τι πρὸς τὸ διαστρέψαι τοὺς ἁπλουστέρους εἰς τὸ περὶ τὸ θεῖον θρησκείαν ἐξορίζεται[23].

ιη'. Ὁ δεδωκὼς πόμα πρὸς φίλτρον ἢ ἀμϐλωθρίδιον καὶ χωρὶς δόλον, εὐτελὴς μὲν ὢν μεταλλίζεται, τίμιος δὲ ἐξορίζεται μετὰ μερικῆς δημεύσεως, ἐσχάτῃ δὲ τιμωρίᾳ ὑπάγεται, ἐάν τις ἐκ τούτου ἀπέθανε[24].

ιθ' Ὁ παραφρονῆσαί τινα ποιήσας φαρμάκῳ ἐνέχεται τῇ ἀτιμίᾳ, ὅ ἐστιν ὕϐρις[25].

κ'. Ἐὰν ἀστρολόγος ἢ ἑτέραν ἀπηγορευμένην μαντείαν.

[17] L. 4 § 1 Dig. (10. 2)— Basil. 4 (42. 3) cum sch. [18] Nomoc. IX 25, ὡς ἐπὶ τῆς ἀντιδότου. [19] L. 35 § 2 Dig. (18.1) — Basil. 33 (19. 1). Nomoc. IX 25 (S. I 197). [20] L. 3 pr. § 1. 2. Dig. (48. 8) — Basil. 3 (60. 39). Epitom. XLV κα. [21] L. 3 § 2 et 3 Dig. (48. 8) — Basil. 3 (60. 39). [22] L. 13 Dig. (48.8)— Bas. 13 (60.39) Nomoc. IX 25 (S. I 199). [23] Nov. 132 Bas. 58 (1.1). [24] L. 38 § 5 Dig. (48. 19)—Basil. 34 (60. 51). [25] L. 15 pr. (47. 10).— Bas. 14 (60·21).

μετιὼν ἐρωτηθεὶς εἴπῃ κλέπτην τὸν μὴ ὄντα, τῇ μὲν ἀτιμίᾳ οὐκ ἐνέχεται, ὑπόκειται δὲ ταῖς διατάξεσιν [26].

κα'. Ὁ διὰ θυσιῶν μαντευόμενος ἱερῶν τῶν ἑλλήνων, εἰσιὼν ἐν οἴκῳ ἀλλοτρίῳ, καιέσθω, ὁ δὲ μετακαλεσάμενος αὐτὸν δημευέσθω καὶ δεπορτατευέσθω [27].

κβ'. (*Ἄλλο, διάταξις δ'*). Ὁ μάγος κἂν μηδὲν ποιῶν καὶ ἐξ αὐτοῦ τοῦ εἰδέναι κολάζεται [28].

κγ'. Οἱ μάγοι θηρίοις παραδιδόσθωσαν [29].

κδ'. Οἱ ἐν κωνσταντινουπόλει οἱ ὁπωσοῦν μαντευόμενοι, εἰ καὶ ἀξιωματικοὶ εἰσίν, ἐν ξύλῳ ἀναρτήσθωσαν καὶ καιέσθωσαν [30].

κε'. Ἡνίοχος ἢ τοιοῦτος τις γόητι κολλώμενος ἐσχάτως τιμωρεῖται [31].

κϛ'. (*Περὶ τοῦ χριστιανὸν ἀνδράποδον μὴ ἔχειν αἱρετικὸν ἢ ἰουδαῖον ἢ ἕλληνα ἢ νέμεσθαι ἢ περιτέμνειν*). Ἰουδαῖος χριστιανὸν ἀνδράποδον ἢ ἄλλης αἱρέσεως ἔθνους καθ' οἱονδήποτε τρόπον μὴ ἐχέτω· εἰ δὲ ἔχει καὶ περιτέμῃ αὐτά, τὸ μὲν ἀνδράποδον ἐλευθεροῦται, αὐτὸς δὲ κεφαλικῶς τιμωρεῖται. Ἕλλην καὶ ἰουδαῖος καὶ σαμαρείτης καὶ πᾶς μὴ ὢν ὀρθόδοξος οὐ δύναται χριστιανὸν ἀνδράποδον ἔχειν· ἐπεὶ καὶ αὐτὸς ἐλευθεροῦται καὶ ὁ κτησάμενος δώσει τοῖς πριβάτοις τριάκοντα τοῦ χρυσίου λίτρας [32].

κζ'. Μηδεὶς ἰουδαῖος ἢ ἕλλην ἢ αἱρετικὸς ἀνδράποδον ἐχέτω χριστιανόν· εἰ δέ τι τοιοῦτον εὑρεθῇ [33], εὐθέως ὁ δοῦλος εἰς ἐλευθερίαν ἁρπαζέσθω [34].

κη'. (*Διάταξις νδ*). Ὁ δοῦλος ὁ [35] ἕλληνι ἢ ἰουδαίῳ ἢ σαμαρείτῃ ἢ αἱρετικῷ δουλεύων, εἰ καὶ μὴ ἔστι χριστιανός, βούλεται δὲ γενέσθαι, ἅμα τῷ σφραγισθῆναι εἰς ἐλευθερίαν ἁρπάζε-

[26] L. 15 § 13 (47. 10). — Bas. ibid. [27] L. 3 C. (9. 18) Bas. 24 (60. 39) cum sch. [28] Non invenio. cnf. l. 8 C. (9. 18). [29] L. 7 C. (9.18). [30] L. 7 C. (9. 18)—Bas. 28 (60. 39) cum sch. [31] L. 9 C (9. 18) Basil. 30 (60. 39). [32] L. 1 C. (1. 10) — Bas. 51 (1. 1). Prooh. XXXIX λα'. Epanag. XL λγ. Harm. VI 11, 2. ZA: XX ('Ανέκδ. 189). [33] ZA: XXI εἰ δέ τις τοιοῦτος εὑρεθῇ. [34] ZA: ibid. [35] ZA: non habet.

ται, μὴ δυναμένου τοῦ δεσπότου αὐτοῦ τοῦτον ἀναδουλοῦν, εἰ καὶ αὐτὸς μετὰ ταῦτα χριστιανὸς γέγονεν[36].

κθ'. (*Ἄλλο*). Ὁ δοῦλον βιαζόμενος ἢ πείθων τὸν χριστιανὸν εἰς ἀθέμιτον αἵρεσιν μετελθεῖν δημευθεὶς ἀποτεμνέσθω[37].

λ'. Δήμευσιν καὶ διηνεχῆ τοῖς ἰουδαίοις ἐξορίαν ἐπάγομεν τοῖς ἐλεγχομένοις ὡς χριστιανὸν περιέτεμον ἢ τοῦτο ἄλλῳ ἐνετείλαντο[38].

VII

α'. (*Περὶ τῆς τῶν βαθμῶν συγγενείας· ἐκ τοῦ βιβλίου τῶν ἰνστιτούτων*). Ἡ συγγένεια γενικόν ἐστιν ὄνομα· διαιρεῖται δὲ εἰς τάξεις τρεῖς· εἰς ἀνιόντας, τουτέστιν εἰς τοὺς ἡμᾶς πεποιηκότας· εἰς κατιόντας, τουτέστιν εἰς τοὺς ἐξ ἡμῶν γεννηθέντας· εἰς τοὺς ἀπὸ λοξότητος ἤγουν ἐκ πλαγίου, τουτέστιν εἰς τοὺς ἀπὸ πατέρα καὶ μητέρα ἀδελφοὺς ἡμῶν, θείους τε καὶ θείας, καὶ ἀκολούθως εἰς τὴν τούτων γονήν.

β'. Πρώτου βαθμοῦ ἐστίν, ἐπὶ μὲν τῶν ἀνιόντων πατὴρ καὶ μήτηρ, ἐπὶ δὲ τῶν κατιόντων υἱὸς καὶ θυγάτηρ.

γ'. Δευτέρου ἐστὶ βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων πάππος καὶ μάμμη, ἐπὶ δὲ τῶν κατιόντων ἔγγονος καὶ ἐγγόνη, ἐπὶ δὲ τῶν ἐκ πλαγίων ἀδελφὸς ἀδελφὴ ἀπό τε πατρὸς καὶ μητρός.

δ'. Τρίτου ἐστὶ βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων πρόπαππος προμάμμη, ἐπὶ δὲ τῶν κατιόντων προέγγονος προεγγόνη, ἐπὶ δὲ τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς υἱὸς καὶ θυγάτηρ, καὶ ἀκολούθως ὁ πρὸς πατρὸς καὶ μητρὸς θεῖος καὶ θεία.

ε'. Τετάρτου βαθμοῦ, ἐπὶ τῶν ἀνιόντων ἀπόπαππος ἀπομάμμη, ἐπὶ τῶν κατιόντων ἀπέγγονος ἀπεγγόνη, τῶν ἐκ πλαγίου τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς, ἑκατέρας φύσεως, ἔγγονος ἐγγόνη, καὶ ἀκολούθως μέγας θεῖος καὶ μεγάλη θεία πρὸς πα-

[36] ZA: XXII L. 54 C. (1. 3). [37] ZA: XXIII L. 5 C. (1. 7). [38] Cod. 1 (10. 1). Proch. XXXIX λα. Epanag. XL λγ.

τρὸς καὶ μητρός, τουτέστι τοῦ πάππου καὶ τῆς μάμμης ἀδελφὸς καὶ ἀδελφή, ὁ ἐξάδελφος καὶ ἡ ἐξαδέλφη, ὅστις καὶ ὅστις ἐκ δύο ἀδελφῶν τῶν ἑκατέρας φύσεως τίκτονται.

ϛ'. Πέμπτου ἐστὶ βαθμοῦ, ἐπὶ τῶν ἀνιόντων δίσπαππος δισμάμμη, ἐπὶ τῶν κατιόντων δισέγγονος δισεγγόνη, ἐπὶ τῶν πλαγίων τοῦ ἀδελφοῦ καὶ τῆς ἀδελφῆς προέγγονος προεγγόνη, καὶ ἀκολούθως μείζων θεῖος καὶ θεία πρὸς πατρὸς καὶ μητρός, τουτέστι τοῦ προσπάππου ἢ τῆς προσμάμμης ἀδελφὸς ἀδελφή, τοῦ πρὸς πατρὸς ἢ μητρὸς ἢ θείου καὶ θείας ἀδελφὸς ἀδελφή, τουτέστι θείου μεγάλου ἢ θείας μεγάλης υἱὸς καὶ θυγάτηρ, πρὸς πατρὸς καὶ μητρός, θείου καὶ θείας, ἔγγονος ἐγγόνη.

ζ'. Ἕκτου ἐστὶ βαθμοῦ, ἐπὶ μὲν τῶν ἀνιόντων τρίσπαππος τρισμάμμη· ἐπὶ δὲ τῶν κατιόντων τρισέγγονος τρισεγγόνη· ἐπὶ τῶν ἐκ πλαγίου, ἀδελφοῦ καὶ ἀδελφῆς πρὸς πατρὸς καὶ μητρὸς ἀπέγγονος ἀπεγγόνη, καὶ ἀκολούθως θεῖος μέγιστος καὶ θεία πρὸς πατρὸς καὶ μητρός, τουτέστι τοῦ ἀποπάππου καὶ τῆς ἀπομάμμης ἀδελφὸς ἢ ἀδελφή. Τοῦ αὐτοῦ ἐστι βαθμοῦ καὶ οἱ ἐκ δύο ἐξαδέλφων τικτόμενοι, οἵτινες καὶ αἵτινες, τουτέστι θείου μείζονος καὶ θείας υἱὸς καὶ θυγάτηρ, θείου μεγάλου καὶ θείας ἔγγονος ἐγγόνη, θείου καὶ θείας πρὸς πατρὸς προέγγονος καὶ προεγγόνη.

η'. Ἀλλ' ἐπειδὴ ἡ θέα μᾶλλον ἀκριβέστερον ἀκοῆς ὑπάρχει, μετὰ τὴν ἀφήγησιν τῶν βαθμῶν καὶ αὐτοὺς εἰδικῶς ἐγράψαμεν τοὺς βαθμοὺς ἐν τῷ παρόντι βιβλίῳ, ἵνα οἱ ἐντυχάνοντες καὶ τῇ ἀκοῇ καὶ τῇ θέᾳ τελειοτάτης τῶν βαθμῶν τύχωσι διδασκαλίας· ἔστιν δὲ αὕτη τῶν βαθμῶν ἡ καταγραφή· τρεῖς τάξεις εἰσὶν τῆς συγγενείας διαιρούμεναι· εἰς ἀνιόντας εἰς κατιόντας εἰς τοὺς ἀπὸ λοξότητος, ἤγουν ἐκ πλαγίου.

θ'. Ἀνωτέρα συγγένεια ἐστὶ τῶν γονέων, κατωτέρα τῶν παίδων, ἐκ πλαγίου τῶν ἀδελφῶν ἑκατέρας φύσεως· καὶ τούτων ὅστις καὶ ἥτις, καὶ ἀκολούθως οἱ πρὸς πατρὸς καὶ μητρὸς θεῖοι

καὶ θεῖαι καὶ οἱ ἐξ αὐτῶν τικτόμενοι κατὰ τὸ παρὸν τῆς γραφῆς σχῆμα [1].

VIII

α'. (*Νόμος ἐκ τοῦ βιβλίου τῶν διγέστων τίτλος ε*). Πᾶς νόμος παρ' ἡμῖν πολιτευόμενος ἢ εἰς πρόσωπα ἢ εἰς πράγματα ἢ εἰς ἀγωγὰς ἀναφέρεται· ἐπειδὴ τοίνυν τῶν ἀνθρώπων ἕνεκεν οἱ νόμοι γεγόνασι, πρῶτον περὶ ἀνθρώπων εἴπωμεν [1].

β'. Τῶν ἀνθρώπων οἱ μὲν ἐλεύθεροι εἰσὶν, οἱ δὲ δοῦλοι [2]. Ἐλευθερία ἐστὶν ἄδεια τοῦ ποιεῖν ὅσα μὴ νόμος ἢ βία κωλύῃ [3]· δουλεία δὲ νόμος ἐθνικὸς, δι' οὗ τις δεσπότῃ ὑποβάλλεται [4]. Ἡ δουλεία ἄτομόν ἐστι· τῶν ἐλευθέρων [5] οἱ μὲν εὐγενεῖς εἰσιν, οἱ δὲ ἀπελεύθεροι· εὐγενής ἐστιν ὁ τεχθεὶς ἐξ ἐλευθέρας, εἴτε ἐν τῷ καιρῷ τῆς κυήσεως ἦν ἐλευθέρα, εἴτε ἐν τῷ καιρῷ τούτῳ τοῦ τοκετοῦ, εἴτε τῶν ἐν μέσῳ, καὶ εἴτε ἐξ ἐννόμων γάμων συνελήφθη, εἴτε ἐκ πορνείας. Ἀπελεύθεροι εἰσὶν οἱ ἐκ δουλείας ἀπελευθερωθέντες [6].

γ'. Δικαιοσύνη ἐστὶ σταθερὰ καὶ διηνεκὴς βούλησις τοῦ ἀπονέμειν ἑκάστῳ τὸ ἴδιον· σοφία δὲ νόμου ἐστὶν ἡ γνῶσις τῶν θείων καὶ ἀνθρωπίνων πραγμάτων τῶν τε δικαίων καὶ τῶν ἀδίκων· παραγγέλματα δὲ νόμου εἰσὶν τὸ εὐσχημόνως ζῆν καὶ ἄλλον μὴ βλάπτειν [7].

δ'. (*Περὶ δικαίου θείου καὶ ἀνθρωπίνου τοῦ η τίτλου τοῦ α βιβλίου τῶν διγέστων*). Τῶν πραγμάτων τὰ μέν εἰσι θείου δικαίου, τὰ δὲ ἀνθρωπίνου· καὶ τὰ μὲν θείου δικαίου οὐδενός

[1] Hactenus omnia sumta sunt ex Theoph. Inst. III, 2 pr. Cnf. L. 1 D. (38. 10). Attal. IH. ιγ'. (Θέμιδος Σγούτα VIII 80)· Epit. XXII. α-η'. Proch. VII 1. Harm. IV, 7. 1. Matth. Blast. B. η (S. VI. 128).

[1] Inst. I 2. § 12. ibique Theoph. Dig. 1. (1. 5). [2] Inst. I 3. pr. ibique Theoph. Dig. 3 (1. 5). [3] Inst. ib. § 1. ibique Theoph. Dig. 4. pr. (1. 5). [4] Inst. ib. § 2 ibique Theoph. Dig. 4. § 2. (1. 5). [5] A: τῶν ἐλευθεριῶν. [6] Inst. ib. § 5. et. I 4. pr. ibique Theoph. Dig. 5. pr. (1. 5). [7] Inst. I 1. pr. § 1. 2. 3. ibique Theoph. Dig. L. 10 (1. 1).—Basil. 10. (2. 1). cum. sch. Epanag. I. 4. 6. Epanag. a. pr. 5. et. 6. (ed. Zach. 80).

εἰσιν[8], τὰ δὲ ἀνθρωπίνου ἐν οὐσίᾳ τινος εἰσίν· καὶ τὰ μὲν σωματικὰ ὅσα ἀφῇ ὑποπίπτει, τὰ δὲ ἀσώματα ὡς κληρονομία, χρῆσις, ἐνοχή, δουλεία· καὶ τινὰ μὲν φυσικῷ δικαίῳ πάντων εἰσί, τινὰ δὲ ὁμάδος[9], τινὰ δὲ οὐδενός, καὶ τινὰ τῶν καθ' ἕκαστον· φυσικῶς πάντων ἐστὶν ὁ ἀήρ, τὸ ἀέναον ὕδωρ, ἡ θάλασσα καὶ ὁ αἰγιαλός· οἱ γὰρ ποταμοὶ καὶ οἱ λιμένες πουβλίκου εἰσὶ δικαίου· τῆς ὁμάδος εἰσὶ τὰ θέατρα, τὰ στάδια καὶ τὰ ὅμοια· σάνκτον ἐστὶ τὰ τείχη, ἤγουν ἅγια, ἐν οἷς κεκώλυταί τινα πλημμελεῖν· σάκρον ἐστὶ τὸ δημοσίῳ ἀφιερωθέν, εἴτε ἐν πόλει, εἴτε ἐν ἀγρῷ[10].

ε'. Οἱ ποταμοὶ σχεδὸν ἅπαντες καὶ οἱ λιμένες οὐκ εἰσι κοινοὶ πάντων ἀνθρώπων, ἀλλὰ τῷ δημοσίῳ διαφέρουσι κατὰ δεσποτείαν· ἡ μέντοι χρῆσις τῶν ποταμῶν καὶ τῆς ὄχθης αὐτῶν φυσικῶς κοινὴ πάντων ἐστίν. Ὅθεν ἑκάστῳ ἔξεστι προσορμίζειν ἐν ταῖς ὄχθαις τὴν ναῦν αὐτοῦ, καὶ δεσμεῖν τὰς σχοίνους αὐτῆς ἐν τοῖς ἱσταμένοις δένδροις ἐν τῇ ὄχθῃ, καὶ τὰ δίκτυα αὐτοῦ ἀποξηραίνειν ἐν αὐτῇ, καὶ τὰ φορτία ἀποτίθεσθαι. Ἡ δὲ δεσποτεία πάσης ὄχθης ποταμοῦ ἐκείνῳ διαφέρει, οὗ τινος τῷ ἀγρῷ προσπέπηγε, καὶ τὰ δένδρα τὰ ἐν τῇ ὄχθῃ τικτόμενα αὐτῶν εἰσίν· οἱ ἁλιεύοντες ἐν τῷ αἰγιαλῷ τῆς θαλάσσης δύνανται καλύβην ἔχειν[11].

ϛ'. (*Περὶ νόμου φυσικοῦ, ἐθνικοῦ καὶ πολιτικοῦ, τίτλος δ τῶν διγέστων*). Τὸ νόμιμον διαιρεῖται εἰς πούβλικον καὶ πριβᾶτον· πούβλικόν ἐστι νόμιμον τὸ εἰς σύστασιν τῆς πολιτείας συντεῖνον· ἔστι δὲ ἐν ἱεροῖς, ἐν ἱερεῦσιν, ἐν ἄρχουσιν· τὸ δὲ πριβᾶτον διαιρεῖται εἰς φυσικόν, εἰς ἐθνικόν, εἰς πολιτικόν· φυσικὸν νόμιμον ἐστὶ τὸ πάντων τῶν ζώων κοινόν, οἷον ἡ μίξις, ὁ τοκετός, ἡ ἀνατροφὴ καὶ τὰ ὅμοια· ἐθνικὸν δὲ νόμιμόν ἐστι

[8] ZA: addit ἐν οὐσίᾳ. [9] A: omittit. [10] Inst. II 1. pr. § 1. 6. 7. 8. ibique Theoph. Dig. L. 1. pr. § 1. L. 2. pr. § 1. L. 6. § 1. 2. 3. L. 8. § 2. L. 9. pr. (1. 8).—Basil. 1. 2. 5 (46. 3). Attal. II α' 6'. [11] Inst. ib. § 2. 4. 5. ibique Theoph. Dig. 5. (1. 8).—Bas. 3. et 4. (46. 3). um. sch.

τὸ πάντων τῶν ἀνθρώπων κοινὸν, οἷον φυσικὸς λογισμὸς, ἡ περὶ τὸ θεῖον θρησκεία, τὸ γονεῦσι καὶ πατρίδι πείθεσθαι, ἡ δουλεία καὶ πάντα τὰ συναλλάγματα, τὸ βίαν ἢ ἀδικίαν ἀποθέσθαι· ἑκάστῳ γὰρ ἐφεῖται ποιεῖν τὰ πρὸς ἀσφάλειαν τοῦ ἰδίου σώματος. Τοῦ αὐτοῦ δὲ νόμου ἐστι καὶ ἡ ἐλευθερία, ὃς εἰσάγων τὴν δουλείαν τρία γένη ἐποίησεν, ἐλευθέρους, δούλους, καὶ ἀπελευθέρους· ἐντεῦθεν πόλεμοι, διακρίσεις ἐθνῶν, βασιλεῖς, κτῆσις, ὅροι ἀγρῶν, δίκαιον πράσεως καὶ ἀγορασίας καὶ πάσης ἐνοχῆς, ὑφεξηρημένων τινων, ἃς τὸ πολιτικὸν εἰσήγαγεν. Τὸ πολιτικὸν νόμιμόν ἐστι τὸ ἰδικὸν ἑκάστης πόλεως· διαιρεῖται δὲ εἰς ἔγγραφον καὶ ἄγραφον· ὡς τοῦ παντὸς δήμου αἱ διατάξεις καὶ τὰ ἔδικτα· καὶ ὅσα δὲ ὁ βασιλεὺς ὁρίσῃ ἢ ψηφίσηται ἢ δι' ἰδιώτου παραγγείλῃ, νόμος ἐστίν· ἀμείβεται δὲ ἢ ἀχρησίᾳ, ἢ διὰ θέσεως ἑτέρου νόμου· καὶ πᾶς μὲν δῆμος πῆ μὲν ἐθνικῷ, πῆ δὲ πολιτικῷ κέχρηται νόμῳ· πᾶς δὲ νόμος ἢ πρὸς πρόσωπον ἢ πράγματα ἢ ἀγωγὰς φέρεται[12].

[12] Inst. I 1 § 4 I 2 pr. § 1 § 6 Theoph. Dig. L. 1 § 2.3. 4. L. 2. L. 5. L. 6. § 1. L. 7. (1. 1) L. 32. § 1. 2. (1. 4). Bas. 1. 2. 4. 6. 14. 39. cum sch. 2. (2. 6). Epanag. II ια'. Epanag. a. pr. 4. (ed. Zach. p. 180). Harm. I 1. 9. 28 38. 34.

NOTA. In capit. II appendicis περὶ ὅρων καὶ ὁροθεσίας ἀγρῶν adduntur fragmenta nonnulla ex Digestis (47. 21), quæ hoc loco subjicio.

'Εὰν δοῦλος ἢ δούλη ἀγνοίᾳ τοῦ δεσπότου ἀλλότριον ὅρον δόλῳ ὑποκινήσῃ, κεφαλικῶς τιμωρείσθω.

Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀνατρέποντες, ἐὰν ἐπίσημοι εἰσὶ καὶ διὰ κέρδος ἴδιον τοῦτο τολμήσωσι, τυπτόμενοι διηνεκῶς ἐξοριζέσθωσαν.

(Τοῦ αὐτοῦ βιβλίου καὶ τίτλου τοῦ 6' κώδικος). Οἱ τὰ ὁροθέσια τῶν ἀγρῶν ἀφανίζοντες ἐκστραορδίνως τιμωροῦνται.

Μηδεὶς τοῖς ἀρχαίοις ἀποκεχρήσθω ὅροις, δημεύσεως αὐτῷ καὶ ἐξορίας ὑποκειμένης.

ΚΕΦΑΛΑΙΑ ΚΑΤ' ΕΚΛΟΓΗΝ
ΤΟΥ ΜΩΣΑΪΚΟΥ ΝΟΜΟΥ

'Εκλογὴ τοῦ παρὰ τοῦ Θεοῦ
διὰ τοῦ Μωυσέως δοθέντος νόμου τοῖς 'Ισραηλίταις[1].

Α. Περὶ κρίματος καὶ δικαιοσύνης.

α'. (*Τῆς ἐξόδου*). Οὐ παραλήψῃ ἀκοὴν ματαίαν· οὐ συγκαταθήσῃ μετὰ τοῦ ἀδίκου γενέσθαι μάρτυς ἄδικος· οὐκ ἔσῃ μετὰ πλειόνων ἐπὶ κακίᾳ· οὐ προστεθήσῃ μετὰ πλήθους[2], ὥστε ἐκκλῖναι κρίσιν· καὶ πένητα οὐκ ἐλεήσεις ἐν κρίσει· οὐ διαστρέψεις κρῖμα πένητος ἐν κρίσει αὐτοῦ· ἀπὸ παντὸς κρίματος[3] ἀδίκου ἀποστήσῃ· ἀθῷον καὶ δίκαιον οὐκ ἀποκτενεῖς· καὶ οὐ δικαιώσῃς τὸν ἀσεβῆ· καὶ δῶρα οὐ λήψῃ· τὰ γὰρ δῶρα ἐκτυφλοῖ ὀφθαλμοὺς βλεπόντων, καὶ λυμαίνεται ῥήματα δίκαια· οὐ ποιήσετε ἄδικον ἐν κρίσει· οὐ λήψῃ πρόσωπον πτωχοῦ· οὐδὲ μὴ θαυμάσῃς πρόσωπον δυνάστου· ἐν δικαιοσύνῃ κρινεῖς τὸν πλησίον σου· οὐ πορεύσῃ δόλῳ ἐν τῷ ἔθνει σου· οὐκ ἐπιστήσῃ ἐφ' αἵματι τοῦ πλησίον σου· ἐν ᾧ ἐγὼ κύριος ὁ θεός σου[4].

[1] Conf. Io. Bapt. Cotelerii Ecclesiæ Græcæ Monumenta tom. I pag. 1-27. [2] Cotel. verba ἐπὶ κακίᾳ-πλήθους omittit. [3] Fors. ῥήματος. [4] Exod. XXIII 1. 2. 3. 6. 7. 8. Deut. XVI 19 Lev. XIX 15. 16.

Β. **Περὶ τοῦ ἐν ταῖς λιθίναις πλαξὶ γραφέντος δεκαλόγου.**

α΄. Ἐγὼ εἰμὶ κύριος ὁ θεός σου, ὁ ἐξαγαγών σε ἐκ γῆς Αἰγύπτου, ἐξ οἴκου δουλείας· οὐκ ἔσονταί σοι ἕτεροι πλὴν ἐμοῦ.

β΄. Οὐ ποιήσεις σεαυτῷ εἴδωλον, οὐδὲ παντὸς ὁμοίωμα, ὅσα ἐν τῷ οὐρανῷ ἄνω, καὶ ὅσα ἐν τῇ γῇ κάτω, καὶ ὅσα ἐν τοῖς ὕδασιν ὑποκάτω τῆς γῆς· οὐ προσκυνήσεις αὐτοῖς, οὐδὲ μὴ λατρεύσῃς αὐτοῖς.

γ΄. Οὐ λήψῃ τὸ ὄνομα κυρίου τοῦ θεοῦ σου ἐπὶ ματαίῳ· οὐ γὰρ μὴ καθαρίσῃ κύριος τὸν λαμβάνοντα τὸ ὄνομα αὐτοῦ ἐπὶ ματαίῳ.

δ΄. Μνήσθητι τὴν ἡμέραν τοῦ σαββάτου ἁγιάζειν αὐτήν· ἓξ ἡμέρας ἐργᾷ καὶ ποιήσεις πάντα τὰ ἔργα σου· τῇ δὲ ἡμέρᾳ τῇ ἑβδόμῃ, σάββατα κυρίῳ τῷ θεῷ σου. Οὐ ποιήσῃς ἐν αὐτῇ πᾶν ἔργον, σὺ καὶ ὁ υἱός σου καὶ ἡ θυγάτηρ σου, ὁ παῖς σου καὶ ἡ παιδίσκη σου, ὁ βοῦς σου καὶ τὸ ὑποζύγιόν σου, καὶ ὁ προσήλυτος ὁ παροικῶν ἐν σοί.

ε΄. Τίμα τὸν πατέρα σου καὶ τὴν μητέρα σου, ἵνα εὖ σοι γένηται, καὶ ἵνα μακροχρόνιος γένῃ ἐπὶ τῆς γῆς.

ϛ΄. Οὐ μοιχεύσεις·

ζ΄. Οὐ φονεύσεις.

η΄. Οὐ κλέψεις.

θ΄. Οὐ ψευδομαρτυρήσεις κατὰ τοῦ πλησίον σου μαρτυρίαν ψευδῆ.

ι΄. Οὐκ ἐπιθυμήσεις τὴν γυναῖκα τοῦ πλησίον σου, οὐδὲ τὸν ἀγρὸν αὐτοῦ, οὐδὲ τὸν παῖδα αὐτοῦ, οὐδὲ τὴν παιδίσκην αὐτοῦ, οὐδὲ τοὺς βόας αὐτοῦ, οὐδὲ τὸ ὑποζύγιον αὐτοῦ, οὔτε πᾶν κτῆνος αὐτοῦ, οὐδ' ὅσα τῷ πλησίον σου ἐστί[1].

[1] Exod. XX 2-17. Deut. V 6-21.

Γ. Περὶ βλασφήμων.

α'. (*Ἐκ τοῦ Λευιτικοῦ*). Ἐλάλησε κύριος πρὸς Μωυσῆν, λέγων· Λάλησον τοῖς υἱοῖς Ἰσραὴλ λέγων, καὶ ἐρεῖς πρὸς αὐτούς· ἄνθρωπος ὃς ἐὰν καταράσηται θεὸν αὐτοῦ, ἁμαρτίαν λήψεται· ὀνομάζων δὲ τὸ ὄνομα κυρίου, θανάτῳ θανατούσθω, λίθοις λιθοβολείτω αὐτὸν πᾶσα ἡ συναγωγή, ἐάν τε προσήλυτος ἐάν τε αὐτόχθων, ἐν τῷ ὀνομάσαι αὐτὸν τὸ ὄνομα κυρίου, τελευτάτω [1].

Δ. Περὶ τιμῆς γερόντων καὶ πρεσβυτέρων.

α'. (*Ἐκ τοῦ Λευιτικοῦ*). Ἀπὸ προσώπου πολιοῦ ἐξαναστήσῃ, καὶ τιμήσεις πρόσωπον πρεσβυτέρου, καὶ φοβηθήσῃ τὸν θεόν σου· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν [2].

Ε. Περὶ τοῦ μὴ καταδικάζεσθαι γονεῖς ὑπὲρ τέκνων ἢ τέκνα ὑπὲρ γονέων.

α'. (*Τοῦ αὐτοῦ*). Οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ τέκνων, καὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων τέκνα· ἕκαστος τῇ ἑαυτοῦ ἁμαρτίᾳ ἀποθανεῖται [3].

ϛ'. Περὶ πατραλοιῶν.

α'. (*Ἐκ τοῦ Λευιτικοῦ*). Ἐὰν ἄνθρωπος κακῶς εἴπῃ τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, θανάτῳ θανατούσθω, ἔνοχός ἐστι [4].

β'. Ὃς τύπτει τὸν πατέρα αὐτοῦ ἢ τὴν μητέρα αὐτοῦ, θανάτῳ τελευτάτω [5].

[1] Lev. XXIV 13. 15. 16. [2] Lev. XIX. 32. [3] Deut. XXIV 16. [4] Lev. XX 9. [5] Exod. XXI 15.

γ'. (*Τοῦ Δευτερονομίου*). Ἐάν τινι υἱὸς ἀπειθὴς ᾖ καὶ ἐρεθιστής, οὐχ ὑπακούων φωνὴν πατρὸς αὐτοῦ, καὶ παιδεύωσιν αὐτὸν καὶ μὴ εἰσακούῃ αὐτῶν, συλλαβόντες αὐτὸν ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ καὶ ἐξάξουσιν αὐτὸν ἐπὶ τὴν γερουσίαν τῆς πόλεως αὐτῶν, καὶ ἐπὶ τὴν πύλην τοῦ τόπου αὐτῶν· καὶ ἐροῦσι τοῖς ἀνδράσι τῆς πόλεως αὐτῶν, ὁ υἱὸς οὗτος ἀπειθεῖ καὶ ἐρεθίζει, οὐχ ὑπακούει τῆς φωνῆς, ἡμῶν, συμβολοκοπῶν οἰνοφλυγεῖ· καὶ λιθοβολήσουσιν οἱ ἄνδρες τῆς πόλεως ἐν λίθοις, καὶ ἀποθανεῖται [1].

Z. Περὶ τοῦ μὴ στερεῖσθαι μισθὸν πένητος παντὸς ἐργαζομένου.

α'. (*Τοῦ Λευιτικοῦ*). Οὐ κοιμηθήσεται ὁ μισθὸς τοῦ μισθωτοῦ ἕως πρωῒ παρὰ σοί [2].

β'. Οὐκ ἀποστερήσεις μισθὸν πένητος καὶ ἐνδεοῦς ἐκ τῶν ἀδελφῶν σου, ἢ ἐκ τῶν προσηλύτων τῶν ἐν ταῖς πόλεσί σου· αὐθημερὸν ἀποδώσεις τὸν μισθὸν αὐτοῦ· οὐκ ἐπιδύσεται ὁ ἥλιος ἐπ' αὐτῷ ὅτι πένης ἐστὶ, καὶ ἐπ' αὐτῷ ἔχει τὴν ἐλπίδα· καὶ οὐ καταβοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσται σοι ἁμαρτία [3].

H. Περὶ τοῦ μὴ κακῶσαι χήραν ἢ ὀρφανόν.

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Πᾶσαν χήραν καὶ ὀρφανὸν οὐ κακώσετε· ὅτι κεκράξονται πρὸς θεοῦ καὶ ὁ θεὸς εἰσακούει αὐτῶν· ἐὰν δὲ κακίᾳ κακώσητε αὐτοὺς καὶ κεκράξαντες καταβοήσωσι πρός με, ἀκοῇ ἀκούσομαι τῆς φωνῆς αὐτῶν [4] καὶ ὀργισθήσομαι, καὶ ἀποκτενῶ ὑμᾶς μαχαίρᾳ, καὶ ἔσονται αἱ γυναῖκες ὑμῶν χῆραι καὶ τὰ τέκνα ὑμῶν ὀρφανά [5].

[1] Deut. XXI 18. 19. 20. 21. [2] Lev. XIX 13. [3] Deut. XXIV 14. 15.
[4] Cot pro φωνῆς habet βοῆς. [5] Exod. XXII 22. 23. 24.

Θ. Περὶ μέτρων καὶ σταθμῶν.

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Οὐ ποιήσετε ἄδικον ἐν κρίσει, ἐν μέτροις καὶ ἐν σταθμοῖς καὶ ἐν ζυγοῖς· ζύγια δίκαια καὶ μέτρα δίκαια καὶ χοῦς δίκαιος ἔσται ὑμῖν[1].

Ι. Περὶ κληρονόμων.

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Εἶπε κύριος πρὸς Μωυσῆν· λάλησον τοῖς υἱοῖς Ἰσραὴλ, λέγων· ἄνθρωπος ἐὰν ἀποθάνῃ καὶ υἱὸς μὴ ᾖ αὐτῷ, περιθήσετε τὴν κληρονομίαν αὐτοῦ τῇ θυγατρὶ αὐτοῦ· ἐὰν μὴ ᾖ αὐτῷ θυγάτηρ, δώσετε τὴν κληρονομίαν αὐτοῦ τῷ ἀδελφῷ αὐτοῦ· ἐὰν δὲ μὴ ὦσιν αὐτῷ ἀδελφοὶ, δώσετε τὴν κληρονομίαν τῷ ἀδελφῷ τοῦ πατρὸς αὐτοῦ· ἐὰν δὲ μὴ ὦσιν ἀδελφοὶ τοῦ πατρὸς αὐτοῦ, δώσετε τὴν κληρονομίαν τῷ οἰκείῳ τῷ ἔγγιστα αὐτοῦ ἐκ τῆς φυλῆς αὐτοῦ, κληρονομῆσαι τὰ αὐτοῦ[2].

ΙΑ. Περὶ δανείου καὶ τόκου καὶ ἐνεχυρασμοῦ.

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Ἐὰν δὲ ἀργύριον ἐκδανείσῃς τῷ ἀδελφῷ σου τῷ πενιχρῷ τῷ παρὰ σοὶ, οὐκ ἔσῃ αὐτὸν κατεπείγων, οὐκ ἐπιθήσῃς αὐτῷ τόκον[3]· ἐὰν δὲ ἐνεχύρασμα ἐνεχυράσῃς τὸ ἱμάτιον τοῦ πλησίον σου, πρὸς δυσμὰς ἡλίου ἀποδώσεις αὐτὸ, ἔστι γὰρ τοῦτο περιβόλαιον αὐτοῦ, μόνον τοῦτο ἱμάτιον ἀσχημοσύνης αὐτοῦ· ἐν τίνι κοιμηθήσεται; ἐὰν οὖν καταβοήσῃ πρός με, ἐπακούσομαι αὐτοῦ· ἐλεήμων γάρ εἰμι[4].

β'. (*Τοῦ Λευιτικοῦ*). Ἐὰν δὲ πένηται ὁ ἀδελφός σου ὁ μετὰ σοῦ, καὶ ἀδυναμήσῃ ταῖς χερσὶ παρὰ σοὶ, ἀντιλήψῃ αὐτοῦ ὡς προσηλύτου καὶ παροίκου, καὶ ζήσεται ὁ ἀδελφός σου μετὰ σοῦ·

[1] Lev. XIX 35. 36. [2] Num. XXVII 8. 9. 10. 11. [3] Cot. omittit. [4] Exod. XXII 25. 26. 27.

οὐ λήψῃ παρ' αὐτοῦ τόκον· τὸ ἀργύριόν σου οὐ δώσεις αὐτῷ ἐν τόκῳ, καὶ ἐπὶ πλεονασμῷ οὐ δώσεις αὐτῷ βρώματά σου [1].

γ'. Ἐὰν δὲ γένηται ἐν σοὶ ἐνδεὴς ἐκ τῶν ἀδελφῶν σου, οὐ ἀποστρέψεις τὴν καρδίαν σου, οὐδὲ μὴ συσφίγξῃς τὴν χεῖρά σου ἀπὸ τοῦ ἀδελφοῦ σου τοῦ ἐπιδεομένου· ἀνοίγων ἀνοίξεις τὰς χεῖράς σου αὐτῷ, καὶ δάνειον δανειεῖς αὐτῷ, ὅσον ἂν ἐπιδέηται καὶ καθόσον ὑστερῆται· οὐ πονηρεύσεται ὁ ὀφθαλμός σου τῷ ἀδελφῷ σου τῷ ἐπιδεομένῳ, καὶ οὐ δώσεις αὐτῷ καὶ βοήσεται κατὰ σοῦ πρὸς κύριον, καὶ ἔσται ἐν σοὶ ἁμαρτία μεγάλη· διδοὺς δώσεις αὐτῷ, καὶ δάνειον δανειεῖς αὐτῷ ὅσον ἂν ἐπιδέηταί σου [2].

δ'. (*Ἐκ τοῦ αὐτοῦ*). Οὐκ ἐκτοκιεῖς τῷ ἀδελφῷ σου τόκον ἀργυρίου, καὶ τόκον βρωμάτων, καὶ τόκον παντὸς πράγματος, οὗ ἐὰν ἐκδανείσῃς· τῷ ἀλλοτρίῳ ἐκτοκιεῖς, τῷ ἀδελφῷ σου οὐκ ἐκτοκιεῖς, ἵνα εὐλογήσῃ σε κύριος ὁ θεός σου ἐν πᾶσι τοῖς ἔργοις σου ἐπὶ τῆς γῆς [3].

ε'. Ἐὰν ὀφείλημα ᾖ ἐν τῷ πλησίον σου, ὀφείλημα ὁτιοῦν, οὐκ εἰσελεύσῃ εἰς τὴν οἰκίαν αὐτοῦ ἐνεχυράσαι τὸ ἐνέχυρον· ἔξω στήσῃ, καὶ ὁ ἄνθρωπος, οὗ τὸ δάνειόν σου ἐστὶν ἐν αὐτῷ, ἐξοίσει σοι τὸ ἐνέχυρον· ἐὰν δὲ ὁ ἄνθρωπος πένηται, οὐ κοιμηθήσῃ ἐν τῷ ἐνεχύρῳ αὐτοῦ· ἀποδόσει ἀποδώσεις αὐτῷ τὸ ἱμάτιον αὐτοῦ περὶ δυσμὰς ἡλίου, καὶ εὐλογήσει σε [4].

ΙΒ. **Περὶ πάσης παραθήκης ἢ κοινωνίας ἢ ἁρπαγῆς ἢ ἀδικίας.**

α'. Ἐάν τις δῷ τῷ πλησίον ἀργύριον ἢ σκεύη φυλάξαι, καὶ κλαπῇ ἐκ τῆς οἰκίας τοῦ ἀνθρώπου, ἐὰν εὑρεθῇ ὁ κλέψας, ἀποτίσει διπλοῦν· ἐὰν δὲ μὴ εὑρεθῇ ὁ κλέψας, προσελεύσεται ὁ κύριος τῆς οἰκίας ἐνώπιον τοῦ θεοῦ, καὶ ὀμεῖται εἰ μὴ αὐτὸς πεπο-

[1] Lev XXV. 35. 36. 37. [2] Deut. XV 7. 8. 9. 10. [3] Deut. XXIII 19. 20. [4] Deut. XXIV 10. 11. 12. 13.

νήρευται ἐφ' ὅλης τῆς παρακαταθήκης τοῦ πλησίον κατὰ πᾶν ῥητὸν ἀδίκημα, περί τε μόσχου καὶ ὑποζυγίου καὶ προβάτου καὶ ἱματίου καὶ πάσης ἀντιλογίας[1] τῆς ἐγκαλουμένης· ὅ,τι οὖν ἐὰν ᾖ, ἐνώπιον τοῦ θεοῦ ἐλεύσεται ἡ κρίσις ἀμφοτέρων, εἰ μὴ μετασχεῖν αὐτὸν καθόλου τῆς παρακαταθήκης τοῦ πλησίον αὐτοῦ· καὶ οὕτως προσδέξεται ὁ κύριος αὐτοῦ, καὶ οὐκ ἀποτίσει[2].

ΙΓ. **Περὶ τοῦ λαμβάνοντος πᾶν κτῆνος φυλάξαι καὶ κλοπῇ ἢ θηριάλωτον γένηται.**

α'. Ἐὰν δῷ τις τῷ πλησίον ὑποζύγιον ἢ μόσχον ἢ πρόβατον ἢ πᾶν κτῆνος φυλάξαι, καὶ συντριβῇ ἢ ἀποθάνῃ, ἢ αἰχμάλωτον γένηται, καὶ μηδεὶς γνῷ, ὅρκος ἔσται τοῦ θεοῦ ἀνὰ μέσον ἀμφοτέρων, ἢ μὴν μὴ αὐτὸν πεπονηρεῦσθαι καθόλου τῆς παρακαταθήκης τοῦ πλησίον, καὶ οὕτως προσδέξεται ὁ κύριος αὐτοῦ, καὶ οὐκ ἀποτίσει, ἐὰν δὲ κλαπῇ ἀπ' αὐτοῦ, ἀποτίσει τῷ κυρίῳ, ἐὰν δὲ θηριάλωτον γένηται, ἄξει αὐτὸν ἐπὶ τὴν θήραν, καὶ οὐκ ἀποτίσει[3].

ΙΔ. **Περὶ τοῦ αἰτουμένου παρὰ τοῦ πλησίον κτῆνος καὶ συντριβῇ ἢ ἀποθάνῃ.**

α'. Ἐὰν αἰτήσῃ τις παρὰ τοῦ πλησίον κτῆνος, καὶ συντριβῇ ἢ ἀποθάνῃ ἢ αἰχμάλωτον γένηται, ὁ δὲ κύριος μὴ ᾖ μετ' αὐτοῦ, ἀποτίσει· ἐὰν δὲ ὁ κύριος αὐτοῦ μετ' αὐτοῦ ᾖ, οὐκ ἀποτίσει· ἐὰν δὲ μισθωτὸς αὐτοῦ ᾖ, ἔστω αὐτῷ ἀντὶ τοῦ μισθοῦ αὐτοῦ[4].

ΙΕ. **Περὶ κλεπτῶν.**

α'. Ἐάν τις κλέψῃ μόσχον ἢ πρόβατον, καὶ σφάξῃ αὐτὸ ἢ ἀπο-

[1] Coteler. recte notat ἀπωλείας. [2] Exod. XXII 7. 8. 9.. [3] Exod. XXII 10. 11. 12. 13. [4] Exod XXII 14. 15.

δῶται, πέντε μόσχους ἀποτίσει ἀντὶ τοῦ μόσχου, καὶ τέσσαρα πρόβατα ἀντὶ τοῦ προβάτου· ἐὰν δὲ ἐν τῷ διορύγματι εὑρεθῇ ὁ κλέπτης, καὶ πληγεὶς ἀποθάνῃ, οὐκ ἔστιν αὐτῷ φόνος· ἐὰν δὲ ἀνατείλῃ ἥλιος ἐπ' αὐτῷ, ἔνοχός ἐστιν, ἀνταποθανεῖται· ἐὰν δὲ μὴ ὑπάρχῃ αὐτῷ, πραθήτω ἀντὶ τοῦ κλέμματος· ἐὰν δὲ καταλειφθῇ ἐν τῇ χειρὶ αὐτοῦ τὸ κλέμμα ἀπό τε μόσχου καὶ ὄνου ἕως προβάτου, διπλᾶ αὐτὰ ἀνταποδώσει [1].

ΙϚ. Περὶ τῶν ἐλεύθερον [2] κλεπτόντων σῶμα καὶ πεπρασκόντων.

α'. (*Τῆς 'Εξόδου*). Ὃς ἂν κλέψῃ τίς τινα τῶν υἱῶν Ἰσραὴλ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, καὶ εὑρεθῇ ἐν αὐτῷ, θανάτῳ θανατούσθω [3].

β'. Ἐὰν ἁλῷ ἄνθρωπος κλέπτων ψυχὴν ἐκ τῶν ἀδελφῶν αὐτοῦ, καὶ καταδυναστεύσας αὐτὸν ἀποδῶται, ἀποθανεῖται ὁ κλέπτης ἐκεῖνος· καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν [4].

ΙΖ. Περὶ τοῦ ἀγοράζοντος ἐλεύθερον σῶμα.

α'. Ἐὰν ταπεινωθῇ ὁ ἀδελφός σου παρὰ σοὶ, καὶ πραθῇ σοί, οὐδουλεύσει σοι δουλείαν οἰκέτου· ὡς μισθωτὸς ἢ πάροικος ἔσται σοι· ἕως τοῦ ἐνιαυτοῦ τῆς ἀφέσεως ἐργᾶται παρά σοί, καὶ ἐξελεύσεται ἐν τῇ ἀφέσει, καὶ τὰ τέκνα αὐτοῦ μετ' αὐτοῦ, καὶ ἀπελεύσεται εἰς τὴν γενεὰν αὐτοῦ, καὶ εἰς τὴν κατάσχεσιν τὴν πατρικὴν αὐτοῦ ἀποδραμεῖται· οὐ πραθήσεται ἐν πράσει οἰκέτου· οὐ κατατενεῖς αὐτὸν ἐν τῷ μόχθῳ, καὶ φοβηθήσῃ τὸν θεόν σου [5].

ΙΗ. Περὶ πραίδας ποιούντων.

α'. (*Τῆς 'Εξόδου*). Ἐὰν δὲ καταβοσκήσῃ τις ἀγρὸν ἢ ἀμπε-

[1] Exod. XXII 1. 2. 3. 4. [2] A: non habet. [3] Exod. XXI 17. [4] Deut. XXIV 7. [5] Lev. XXV 39. 40. 41. 42. 43.

λῶνα, καὶ ἀφῇ τὸ κτῆνος αὐτοῦ καταβοσκῆσαι ἀγρὸν ἕτερον, ἀποτίσει ἐκ τοῦ ἀγροῦ αὐτοῦ κατὰ τὸ γέννημα αὐτοῦ· ἐὰν δὲ πάντα τὸν ἀγρὸν καταβοσκήσῃ, τὰ βέλτιστα τοῦ ἀγροῦ αὐτοῦ καὶ τὰ βέλτιστα τοῦ ἀμπελῶνος αὐτοῦ ἀποτίσει[1].

ΙΘ. **Περὶ ἀνοίξαντος λάκκον καὶ μὴ καλύψαντος.**

α΄. (*Τῆς Ἐξόδου*). Ἐάν τις ἀνοίξῃ λάκκον ἢ λατομήσῃ, καὶ μὴ καλύψῃ αὐτόν, ἐμπέσῃ δὲ ἐκεῖ μόσχος ἢ ὄνος, ὁ κύριος τοῦ λάκκου ἀποτίσει, ἀργύριον δώσει τῷ κυρίῳ αὐτῶν, τὸ δὲ τεθνηκὸς αὐτῷ ἔσται[2].

Κ. **Περὶ τῶν ἐμπρησμοὺς ποιούντων.**

α΄. (*Ἐκ τοῦ Δευτερονομίου*). Ἐὰν ἐξελθὸν πῦρ εὕρῃ ἀκάνθας καὶ προσεμπρήσῃ ἅλωνας ἢ στάχυν, ἀποπληρώσει ὁ τὸ πῦρ ἐκκαύσας[3].

ΚΑ: **Περὶ ταύρου κερατίσαντος ἄνθρωπον ἢ κτῆνος.**

α΄. (*Ἐκ τοῦ Δευτερονομίου*). Ἐὰν κερατίσῃ ταῦρος ἄνδρα ἢ γυναῖκα καὶ ἀποθάνῃ, λίθοις λιθοβοληθήσεται ὁ ταῦρος ἐκεῖνος, καὶ οὐ βρωθήσεται τὰ κρέα αὐτοῦ, ὁ δὲ κύριος τοῦ ταύρου ἀθῶος ἔσται· ἐὰν δὲ ὁ ταῦρος κερατιστὴς ἦν πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης ἡμέρας, καὶ διαμαρτύρωνται τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτόν, ἀνέλῃ δὲ ἄνδρα ἢ γυναῖκα, ὁ ταῦρος λιθοβοληθήσεται, καὶ ὁ κύριος αὐτοῦ προσαποθανεῖται· ἐὰν δὲ λύτρα ἐπιβληθῇ αὐτῷ, δώσει λύτρα τῆς ψυχῆς αὐτοῦ ὅσα ἂν ἐπιβάλωσιν αὐτῷ· ἐὰν δὲ υἱὸν κερατίσῃ ἢ θυγατέρα, κατὰ τὸ δίκαιον τοῦτο ποιήσουσιν αὐτῷ· ἐὰν δὲ παῖδα κερατίσῃ ὁ ταῦρος ἢ παιδίσκην, ἀργυρίου τριάκοντα δώσει δίδραχμα τῷ κυρίῳ αὐτοῦ;

[1] Exod. XXII 5. [2] Exod. XXI 33. 34. [3] Exod. XXII 6.

καὶ ὁ ταῦρος λιθοβοληθήσεται· ἐὰν δὲ κερατίσῃ ταῦρός τινος ταῦρον τοῦ πλησίον, καὶ τελευτήσῃ, ἀποδώσονται τὸν ταῦρον τὸν ζῶντα, καὶ διελοῦσι τὸ ἀργύριον αὐτοῦ, καὶ τὸν ταῦρον τὸν τεθνηκότα διελοῦνται· ἐὰν δὲ γνωρίζηται ὁ ταῦρος ὅτι κεριστής ἦν πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης ἡμέρας, καὶ διαμεμαρτυρημένοι ὦσι τῷ κυρίῳ αὐτοῦ, καὶ μὴ ἀφανίσῃ αὐτὸν, ἀποτίσει ταῦρον ἀντὶ ταύρου· ὁ δὲ τετελευτηκὼς αὐτῷ ἔσται[1].

ΚΒ. Περὶ παρακοίτιδος τοῦ ἐν πολέμοις.

α'. (*Τῆς Ἐξόδου, κεφ. νζ'*). Ἐὰν ἐξέλθῃς εἰς πόλεμον ἐπὶ τοὺς ἐχθρούς σου, καὶ παραδῷ αὐτοὺς κύριος ὁ θεός σου εἰς τὰς χεῖράς σου, καὶ προνομεύσῃς τὴν προνομὴν αὐτῶν, καὶ ἴδῃς ἐν τῇ προνομῇ γυναῖκα καλὴν τῷ εἴδει, καὶ ἐνθυμηθῇς αὐτῆς, καὶ λάβῃς αὐτὴν σεαυτῷ γυναῖκα, καὶ εἰσελεύσῃ πρὸς αὐτὴν καὶ συνοικισθήσῃ αὐτῇ, καὶ ἔσται σου γυνή, καὶ ἔσται ἐὰν μὴ θέλῃς αὐτὴν, ἐξαποστελεῖς αὐτὴν ἐλευθέραν, καὶ πράσει οὐ πραθήσεται ἀργυρίου· οὐκ ἀθετήσεις αὐτὴν, διότι ἐταπείνωσας αὐτήν[2].

ΚΓ. Περὶ τοῦ ἀθετοῦντος καὶ ἐνδιαβάλλοντος τὴν ἑαυτοῦ γυναῖκα.

α'. (*Τῆς Ἐξόδου*). Ἐάν τις λάβῃ γυναῖκα καὶ συνοικήσῃ αὐτῇ, καὶ μισήσῃ αὐτὴν, καὶ ἐπιθῇ αὐτῇ προφασιστικοὺς λόγους, καὶ κατενέγκῃ αὐτῇ λόγον πονηρὸν καὶ λέγῃ· τὴν γυναῖκα ταύτην εἴληφα, καὶ προσελθὼν αὐτῇ οὐχ εὕρηκα αὐτῆς παρθενίαν· καὶ λαβὼν ὁ πατὴρ καὶ ἡ μήτηρ τῆς παιδὸς ἐξοίσουσι τὰ παρθένια τῆς παιδὸς πρὸς τὴν γερουσίαν ἐπὶ τὴν πύλην, καὶ ἐρεῖ ὁ πατὴρ τῆς παιδὸς τῇ γερουσίᾳ· τὴν θυγατέρα μου ταύτην δέδωκα τῷ ἀνθρώπῳ τούτῳ γυναῖκα, καὶ μισήσας αὐτὸς αὐτὴν νῦν, ἐπιτίθησιν αὐτῇ προφασιστικοὺς λόγους, λέγων·

[1] Exod. XXI 28-36. [2] Deut· XXI 10. 11. 13. 14.

οὐχ εὕρηκα τῆς θυγατρός σου παρθενίαν· καὶ ταῦτα τὰ παρθένια τῆς θυγατρός μου· καὶ ἀναπτύξουσι τὸ ἱμάτιον αὐτῆς ἔναντι τῆς γερουσίας τῆς πόλεως· καὶ λήψεται ἡ γερουσία τῆς πόλεως ἐκείνης τὸν ἄνθρωπον ἐκεῖνον, καὶ παιδεύσουσιν αὐτὸν, καὶ ζημιώσουσιν ἑκατὸν σίκλους, καὶ δώσουσι τῷ πατρὶ τῆς νεάνιδος, ὅτι ἐξήνεγκεν ὄνομα πονηρὸν ἐπὶ παρθένον Ἰσραηλίτιν, καὶ αὐτῷ ἔσται γυνή· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον· ἐὰν δὲ ἐπ' ἀληθείας γένηται ὁ λόγος οὗτος, καὶ μὴ εὑρεθῇ παρθενία τῇ νεάνιδι, ἐξάξουσι τὴν νεάνιδα ἐπὶ τὰς θύρας τοῦ οἴκου τοῦ πατρὸς αὐτῆς, καὶ λιθοβολήσουσιν αὐτὴν οἱ ἄνδρες τῆς πόλεως αὐτῆς ἐν λίθοις καὶ ἀποθανεῖται, ὅτι ἐποίησεν ἀφροσύνην ἐν υἱοῖς Ἰσραὴλ ἐκπορνεῦσαι τὸν οἶκον τοῦ πατρὸς αὐτῆς [1].

ΚΔ. Περὶ γυναικὸς ἐὰν μάχηται μετὰ τοῦ ἀνδρὸς αὐτῆς [2].

α'. Ἐὰν μάχωνται ἄνθρωποι ἐπὶ τὸ αὐτὸ, ἄνθρωπος μετὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ προσέλθῃ ἡ γυνὴ ἑνὸς αὐτῶν ἐξελέσθαι τὸν ἄνδρα αὐτῆς ἐκ χειρὸς τοῦ τύπτοντος αὐτὸν, καὶ ἐκτείνασα τὴν χεῖρα ἐπιλάβηται τῶν διδύμων αὐτοῦ, ἀποκόψεις τὴν χεῖρα αὐτῆς· οὐ φείσεται ὁ ὀφθαλμός σου ἐπ' αὐτῇ [3].

ΚΕ. Περὶ φθορέως.

α'. Ἐὰν ἀπατήσῃ τις παρθένον ἀμνήστευτον, καὶ κοιμηθῇ μετ' αὐτῆς, φερνῇ φερνιεῖ αὐτὴν ἑαυτῷ γυναῖκα· ἐὰν δὲ ἀνανεύων ἀνανεύσῃ, καὶ μὴ βούληται ὁ πατὴρ αὐτῆς δοῦναι αὐτὴν αὐτῷ γυναῖκα, ἀργύριον ἀποτίσει αὐτῷ καθ' ὅσον ἐστὶν ἡ φερνὴ τῶν παρθένων.

[1] Deut. XXII 13. 14. 15. 16. 17. 18. 19. 20. 21. [2] Cotel. Περὶ γυναικὸς ἐν μάχῃ τὰ αἰδοῖα τοῦ ἀντιδίκου δραττομένης. [3] Deut XXV 11. 12.

β'. Ἐάν τις εὕρῃ παῖδα παρθένον, ἥτις οὐ μεμνήστευται, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, καὶ εὑρεθῇ, δώσει ὁ ἄνθρωπος ὁ κοιμώμενος μετ' αὐτῆς τῷ πατρὶ τῆς νεάνιδος πεντήκοντα δίδραχμα ἀργυρίου καὶ αὐτοῦ ἔσται γυνή, ἀνθ' ὧν ἐταπείνωσεν αὐτήν· οὐ δυνήσεται ἐξαποστεῖλαι αὐτὴν τὸν ἅπαντα χρόνον.

γ'. Ἐὰν γένηται παῖς παρθένος μεμνηστευμένη ἀνδρί, καὶ εὑρὼν αὐτὴν ἄνθρωπος ἐν πόλει κοιμηθῇ μετ' αὐτῆς, ἐξάξετε ἀμφοτέρους ἐπὶ τὴν πύλην τῆς πόλεως αὐτῶν, καὶ λιθοβοληθήσονται ἐν λίθοις καὶ ἀποθανοῦνται· τὴν νεᾶνιν, ὅτι οὐκ ἐβόησεν ἐν τῇ πόλει· καὶ τὸν ἄνθρωπον, ὅτι ἐταπείνωσε τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ· καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐκ μέσου ὑμῶν αὐτῶν.

δ'. Ἐὰν ἐν πεδίῳ εὕρῃ ἄνθρωπος τὴν παῖδα τὴν μεμνηστευμένην, καὶ βιασάμενος κοιμηθῇ μετ' αὐτῆς, ἀποκτενεῖτε τὸν ἄνθρωπον τὸν κοιμώμενον μετ' αὐτῆς μόνον· τῇ δὲ νεάνιδι οὐ ποιήσετε οὐδέν· οὐκ ἔστι τῇ νεάνιδι ἁμάρτημα θανάτου· ὡς εἴ τις ἐπαναστῇ ἄνθρωπος ἐπὶ τοῦ πλησίον αὐτοῦ, καὶ φονεύσει ψυχήν, οὕτως τὸ πρᾶγμα τοῦτο· ὅτι ἐν τῷ ἀγρῷ εὗρεν αὐτήν, ἐβόησεν ἡ νεᾶνις ἡ μεμνηστευμένη, καὶ ὁ βοηθήσων οὐκ ἦν αὐτῇ [1].

ΚϚ. Περὶ μοιχῶν.

α'. Ἄνθρωπος ὃς ἂν μοιχεύσηται γυναῖκα ἀνδρός, ἢ ὃς ἂν μοιχεύσηται τὴν γυναῖκα τοῦ πλησίον αὐτοῦ, θανάτῳ θανατούσθω ὁ μοιχεύων, καὶ ἡ μοιχευομένη.

β'. Ἐὰν εὑρεθῇ ἄνθρωπος κοιμώμενος μετὰ γυναικὸς συνῳκισμένης ἀνδρί, ἀποκτενεῖτε ἀμφοτέρους, τὸν ἄνδρα τὸν κοιμώμενον μετὰ τῆς γυναικός, καὶ τὴν γυναῖκα [2].

ΚΖ. Περὶ γυναικὸς ἀμβλώσης ὑπό τινος.

α'. Ἐὰν μάχωνται δύο ἄνδρες, καὶ πατάξωσι γυναῖκα ἐν γα-

[1] Exod. XXII 16. 17. Deut PP. [2] Deut. XXII (1). 22. Lev. XX 10.

στρὶ ἔχουσαν, καὶ ἐξέλθῃ τὸ παιδίον αὐτῆς μὴ ἐξεικονισμένον, ἐπιζήμιον ζημιωθήσεται· καθότι ἂν ἐπιβάλῃ ὁ ἀνὴρ τῆς γυναικὸς, δώσει μετὰ ἀξιώματος· ἐὰν δὲ ἐξεικονισμένον ᾖ, δώσει ψυχὴν ἀντὶ ψυχῆς[1].

ΚΗ. **Περὶ θυγατρὸς ἱερέως πορνευούσης.**

α΄. Θυγάτηρ ἱερέως ἐὰν βεβηλωθῇ τοῦ ἐκπορνεῦσαι, τὸ ὄνομα τοῦ πατρὸς αὐτῆς αὐτὴ βεβηλοῖ, ἐπὶ πυρὸς κατακαυθήσεται[2].

ΚΘ. **Περὶ γυναικὸς ἀλογευομένης.**

α΄. Γυνή, ἥτις προσελεύσεται πρὸς πᾶν κτῆνος βιβασθῆναι αὐτὴν ὑπ᾽ αὐτοῦ, ἀποκτενεῖτε τὴν γυναῖκα καὶ τὸ κτῆνος[3].

Λ. **Περὶ αἱμομικτῶν.**

α΄, Ἄνθρωπος ἄνθρωπος πρὸς πάντα οἰκεῖον σαρκὸς αὐτοῦ οὐκ εἰσελεύσεται ἀποκαλύψαι ἀσχημουύνην· ἐγὼ κύριος· ἀσχημοσύνην τοῦ πατρός σου καὶ ἀσχημοσύνην τῆς μητρός σου οὐκ ἀποκαλύψεις· μήτηρ γάρ σου ἐστίν[4].

ΛΑ. **Περὶ τοῦ εἰς τὴν αὐτοῦ μητρυιάν.**

α΄. Ἐάν τις κοιμηθῇ μετὰ γυναικὸς τοῦ πατρὸς αὐτοῦ[5], ἀσχημοσύνην τοῦ πατρὸς αὐτοῦ ἀπεκάλυψε, θανάτῳ θανατούσθωσαν ἀμφότεροι, ἔνοχοί εἰσιν[6].

ΛΒ. **Περὶ τοῦ εἰς τὴν ἑαυτοῦ ἀδελφήν.**

α΄. (*Τοῦ αὐτοῦ, κεφ. ϞΔ΄*). Ὃς ἂν λάβῃ τὴν ἀδελφὴν αὐτοῦ

[1] Exod. XXI 22. 23. [2] Lev. XXI 9. [3] Lev. XX 16. [4] Lev. XVIII 6. 7. [5] A: ἢ ἐκ μητρὸς αὐτοῦ ἀπεκάλυψεν. Lacunam supplevi. [6] Lev. XX 11.

ἐκ πατρὸς αὐτοῦ, ἢ ἐκ μητρὸς αὐτοῦ, καὶ ἴδῃ αἰσχύνην αὐτῆς, ἤγουν τὴν ἀσχημοσύνην, ὄνειδός ἐστιν· ἐξολοθρευσθήσονται μεταξὺ γένους αὐτῶν [1].

ΛΓ. **Περὶ τοῦ εἰς τὴν ἑαυτοῦ ἐγγόνην.**

α'. Ἀσχημοσύνην θυγατρὸς υἱοῦ σου ἢ θυγατρὸς θυγατρός σου οὐκ ἀποκαλύψεις τὴν ἀσχημοσύνην αὐτῶν [2].

ΛΔ. **Περὶ τοῦ εἰς τὴν ἑαυτοῦ θεῖαν.**

α'. Ἀσχημοσύνην ἀδελφῆς μητρός σου καὶ ἀδελφῆς πατρός σου, οὐκ ἀποκαλύψεις· τὴν οἰκειότητα ἀπεκάλυψαν, ἁμαρτίαν ἀποίσονται [3].

ΛΕ. **Περὶ τοῦ εἰς τὴν ἑαυτοῦ νύμφην ἤγουν γυναῖκα υἱοῦ.**

α'. Ἐάν τις κοιμηθῇ μετὰ νύμφης αὐτοῦ, θανάτῳ θανατούσθωσαν ἀμφότεροι· ἠσέβησαν, ἔνοχοί εἰσιν [4].

ΛϚ. **Περὶ τοῦ εἰς νύμφην ἀδελφοῦ.**

α'. Ἀνὴρ ὃς ἐὰν λάβῃ τὴν γυναῖκα τοῦ ἀδελφοῦ αὐτοῦ, ἀκαθαρσία ἐστίν· ἀσχημοσύνην ἀδελφοῦ αὐτοῦ ἀπεκάλυψεν· ἄτεκνοι ἀποθανοῦνται [5].

ΛΖ. **Περὶ τοῦ εἰς γυναῖκα καὶ τὴν αὐτῆς θυγατέρα.**

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Ὃς ἂν λάβῃ γυναῖκα καὶ τὴν

[1] Lev XX 17. [2] Lev: XVIII 10. [3] Lev. XX 19. [4] Lev. XX. 12. [5] Lev. XX 21.

μητέρα αὐτῆς, ἀνόμημά ἐστιν· ἐν πυρὶ κατακαύσουσιν αὐτὸν καὶ αὐτάς· καὶ οὐκ ἔσται ἀνόμημα ἐν ὑμῖν[1].

ΛΗ. Περὶ τοῦ εἰς θυγατέρα μητρυιᾶς.

α'. (*Ἐκ τοῦ αὐτοῦ*). Ἀσχημοσύνην θυγατρὸς γυναικὸς πατρός σου οὐκ ἀποκαλύψεις· ὁμοπατρία ἀδελφή σου ἐστίν[2].

ΛΘ. Περί τοῦ εἰς δύο ἀδελφάς.

α'. (*Τοῦ αὐτοῦ, κεφ. ϛ'*). Γυναῖκα ἐπ' ἀδελφῇ αὐτῆς οὐ λήψῃ ἀντίζηλον ἀποκαλύψαι τὴν ἀσχημοσύνην αὐτῆς ἐπ' αὐτῇ, ἔτι ζώσης αὐτῆς[3].

Μ. Περὶ τοῦ εἰς γυναῖκα θείου.

α'. Ἀσχημοσύνην ἀδελφοῦ τοῦ πατρός σου οὐκ ἀποκαλύψεις, καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ οὐκ εἰσελεύσῃ· συγγενὴς γάρ σου ἐστίν[4].

ΜΑ. Περὶ λοιπῆς συγγενείας.

α'. Ὃς ἂν κοιμηθῇ μετὰ συγγενοῦς αὐτοῦ, ἀσχημοσύνην τῆς συγγενείας αὐτοῦ ἀπεκάλυψεν· ἁμάρτημα αὐτῶν λήψονται, ἄτεκνοι ἀποθανοῦνται[5].

ΜΒ. Περὶ κτηνοβατῶν.

α'. Πᾶς κοιμώμενος μετὰ κτήνους θανάτῳ ἀποθανεῖται.

β'. Καὶ ὃς ἂν δῷ κοίτασιν αὐτοῦ ἐν τετραπόδῳ, θανάτῳ θανατούσθω, καὶ τὸ τετράποδον ἀποκτενεῖτε[6].

[1] Lev. XX 14. [2] Lev. XVIII 11. [3] Lev. XVIII 18. [4] Lev. XVIII 14. [5] Lev. XX 20. [6] Exod. XXII 19. Lev. XX 15.

ΜΓ. **Περὶ ἀσελγείας ἀρρένων.**

α΄. (*Τοῦ αὐτοῦ*). Ὃς ἂν κοιμηθῇ μετὰ ἄρρενος κοίτην γυναικὸς, βδέλυγμα ἐποίησεν· ἀμφότεροι θανατούσθωσαν [1].

ΜΔ. **Περὶ τοῦ φονεύοντος ἢ παρὰ μέλος ποιοῦντος τὸν ἴδιον οἰκέτην.**

α΄. Ἐάν τις πατάξῃ τὸν παῖδα αὐτοῦ ἢ τὴν παιδίσκην αὐτοῦ ἐν ῥάβδῳ καὶ ἀποθάνῃ ὑπὸ τὰς χεῖρας αὐτοῦ, δίκῃ ἐκδικηθήσεται· ἐὰν διαβιώσῃ ἡμέραν μίαν ἢ δύο, οὐκ ἐκδικηθήσεται· τὸ γὰρ ἀργύριον αὐτοῦ ἐστίν· ἐὰν δέ τις πατάξῃ τὸν ὀφθαλμὸν τοῦ οἰκέτου αὐτοῦ, ἢ τὸν ὀφθαλμὸν τῆς θεραπαίνης αὐτοῦ καὶ ἐκτυφλώσῃ, ἐλευθέρους ἐξαποστελεῖ αὐτοὺς ἀντὶ τοῦ ὀφθαλμοῦ αὐτῶν· ἐὰν δὲ ὀδόντα αὐτῶν ἐκκόψῃ, ὡσαύτως ποιείτω [2].

ΜΕ. **Ἕτερα κεφάλαια διάφορα ἐκ τῆς παλαιᾶς διαθήκης.**

α΄. Ἐὰν πατάξῃ τίς τινα καὶ ἀποθάνῃ, θανάτῳ θανατούσθω· ὁ δὲ οὐχ ἑκὼν, ἀλλ᾽ ὁ θεὸς παρέδωκεν αὐτὸν εἰς τὰς χεῖρας αὐτοῦ, δώσω σοι τόπον οὗ φεύξεται ἐκεῖ ὁ φονεύσας· ἐὰν δέ τις ἐπιθῆται τῷ πλησίον ἀποκτεῖναι αὐτὸν δόλῳ καὶ καταφύγῃ, ἀπὸ τοῦ θυσιαστηρίου μου λήψῃ αὐτὸν θανατῶσαι [3].

β΄. Ἐὰν λοιδορῶνται δύο ἄνδρες, καὶ πατάξωσι τὸν πλησίον λίθῳ ἢ πυγμῇ, καὶ μὴ ἀποθάνῃ, κατακλιθῇ δὲ ἐπὶ τὴν κοίτην, ἐὰν ἐξαναστὰς ὁ ἄνθρωπος περιπατήσῃ ἔξω ἐπὶ ῥάβδου, ἀθῷος ἔσται ὁ πατάξας· πλὴν τὰς ἀργίας αὐτοῦ ἀποτίσει καὶ τὰ ἰατρεῖα [4].

[1] Lev. XX 12. [2] Exod. XXI 20. 21. 26. 27. [3] Cotel. XLVI. Exod. XXI 12. 13. 14. [4] Exod. XXI 18. 19.

γ'. Ἐὰν δὲ ἐν σκεύει σιδήρου πατάξῃ τις τὸν πλησίον, καὶ τελευτήσῃ, φονευτής ἐστι, θανάτῳ θανατούσθω ὁ φονεύσας· ἐὰν δὲ ἐν λίθῳ ἐκ χειρὸς ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ πατάξῃ αὐτὸν, καὶ ἀποθάνῃ, φονευτής ἐστι, θανατούσθω ὁ φονεύσας· ἐὰν δὲ ἐν σκεύει ξυλίνῳ ἐκ χειρὸς ἐξ οὗ ἀποθανεῖται πατάξῃ αὐτὸν, καὶ ἀποθάνῃ, φονευτής ἐστι, θανάτῳ θανατούσθω ὁ φονεύσας· ἐὰν δὲ δι' ἔχθραν ὤσῃ αὐτὸν, καὶ ἐπιρρίψῃ αὐτῷ σκεῦος ἐξ ἐνέδρου, καὶ ἀποθάνῃ, ἢ διὰ μῆνιν ἐπάταξεν αὐτὸν καὶ ἀπέθανε, θανάτῳ θανατούσθω ὁ πατάξας· ἐὰν δὲ ἐξαπίνης οὐ δι' ἔχθραν ὤσῃ αὐτὸν, ἢ ἐπιρρίψῃ ἐπ' αὐτὸν πᾶν σκεῦος οὐκ ἐξ ἐνέδρου, ἢ παντὶ λίθῳ, ἐν ᾧ ἀποθανεῖται ἐν αὐτῷ οὐκ εἰδὼς, καὶ ἐπιπέσῃ ἐπ' αὐτὸν, καὶ ἀποθάνῃ, αὐτὸς δὲ οὐκ ἐχθρὸς αὐτοῦ ἦν, οὐδὲ ζητῶν κακοποιῆσαι αὐτόν· καὶ κρινεῖ ἡ συναγωγὴ ἀναμέσον τοῦ πατάξαντος καὶ ἀναμέσον τοῦ ἀγχιστεύοντος τὸ αἷμα κατὰ τὰ κρίματα ταῦτα· καὶ ἐξελεῖται ἡ συναγωγὴ τὸν φονεύσαντα ἀπὸ τοῦ ἀγχιστεύοντος τὸ αἷμα, καὶ ἀποκαταστήσει αὐτὸν ἡ συναγωγὴ εἰς τὴν πόλιν τοῦ φυγαδευτηρίου αὐτοῦ [1].

δ'. Καὶ ἔσται καταφυγὴ ἐκεῖ παντὶ τῷ φονευτῇ· τοῦτο δὲ ἔσται τὸ πρόσταγμα τοῦ φονευτοῦ, ὃς ἂν φύγῃ ἐκεῖ, καὶ ζήσεται, ὃς ἂν πατάξῃ τὸν πλησίον αὐτοῦ ἀκουσίως, καὶ οὗτος οὐ μισῶν αὐτὸν πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης· καὶ ὃς ἂν εἰσέλθῃ μετὰ τοῦ πλησίον αὐτοῦ εἰς τὸν δρυμὸν συναγαγεῖν ξύλα καὶ ἐκκρουσθῇ ἡ χεὶρ αὐτοῦ τῇ ἀξίνῃ κόπτοντος τὸ ξύλον, καὶ ἐκπεσὸν τὸ σιδήριον ἀπὸ τοῦ ξύλου τύχῃ τοῦ πλησίον, καὶ ἀποθάνῃ, οὗτος καταφεύξεται εἰς μίαν τῶν πόλεων τούτων, καὶ ζήσεται· ἵνα μὴ διώξας ὁ ἀγχιστεύων τοῦ αἵματος ὀπίσω τοῦ φονεύσαντος, ὅτι παρατεθέρμανται τῇ καρδίᾳ αὐτοῦ, καὶ καταλάβῃ αὐτὸν, ἐὰν καὶ πατάξῃ αὐτοῦ τὴν ψυχὴν, καὶ ἀποθάνῃ· καὶ τούτῳ οὐκ ἔστι κρίσις θανάτου, ὅτι οὐ μισῶν ἦν αὐτὸν πρὸ τῆς χθὲς καὶ πρὸ τῆς τρίτης· διὰ τοῦτο ἐγὼ ἐντέλλομαι τὸ ῥῆμα τοῦτο [2].

[1] **Num. XXXV 16. 17. 18. 20. 21. 22. 23. 24. 25.** [2] **Deut. XIX 3. 4. 5. 6. 7.**

ε'. Ἄνθρωπος ἄνθρωπος ὃς ἂν πατάξῃ πᾶσαν ψυχὴν ἀνθρώπου, καὶ ἀποθάνῃ, θανάτῳ τελευτάτω· καὶ ὃς ἂν πατάξῃ κτήνος καὶ ἀποθάνῃ, ἀποτισάτω ψυχὴν ἀντὶ ψυχῆς· καὶ ἐάν τις δῷ μῶμον τῷ πλησίον, ὡς ἐποίησεν αὐτῷ, ὡσαύτως ἀντιποιηθήσεται[1].

ς'. Πᾶς πατάξας ψυχὴν, διὰ μαρτύρων πατάξεις τὸν πατάξαντα, καὶ μάρτυς εἷς οὐ μαρτυρήσει ἐπὶ ψυχὴν ἀποθανεῖν· καὶ οὐ λήψεσθε λύτρα ἐπὶ ψυχῆς παρὰ τοῦ φονεύσαντος τοῦ ἐνόχου ὄντος ἀναιρεθῆναι θανάτῳ γὰρ θανατωθήσεται· οὐ λήψεσθε λύτρα τοῦ φυγεῖν εἰς πόλιν τῶν φυγαδευτηρίων, τοῦ πάλιν κατοικεῖν ἐπὶ τῆς γῆς[2].

ΜϚ. Περὶ μαρτύρων καὶ ψευδομαρτύρων.

α'. (*Ἐκ τοῦ Δευτερονομίου*). Ἐπὶ δυσὶ μάρτυσιν ἢ τρισὶν ἀποθανεῖται ὁ ἀποθνήσκων· οὐκ ἀποθανεῖται ἐφ' ἑνὶ μάρτυρι· καὶ ἡ χεὶρ τῶν μαρτύρων ἔσται ἐπ' αὐτῷ ἐν πρώτοις θανατῶσαι αὐτόν, καὶ ἡ χεὶρ τοῦ λαοῦ ἐπ' ἐσχάτων· καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν[3].

β'. Οὐκ ἐμμενεῖ μάρτυς εἷς μαρτυρῆσαι κατὰ ἀνθρώπου κατὰ πᾶσαν ἀδικίαν, καὶ κατὰ πᾶν ἁμάρτημα, καὶ κατὰ πᾶσαν ἁμαρτίαν, ἣν ἐὰν ἁμάρτῃ· ἐπὶ στόματος δύο μαρτύρων σταθήσεται πᾶν ῥῆμα. Ἐὰν καταστῇ μάρτυς ἄδικος κατὰ ἀνθρώπου, καταλέγων αὐτοῦ ἀσέβειαν, στήσονται οἱ δύο ἄνθρωποι, οἷς ἐστιν αὐτοῖς ἡ ἀντιλογία ἔναντι κυρίου, καὶ ἔναντι τῶν ἱερέων, καὶ ἔναντι τῶν κριτῶν, καὶ ἐξετάσωσιν οἱ κριταὶ ἀκριβῶς, καὶ ἰδοὺ μάρτυς ἄδικος ἐμαρτύρησεν ἄδικα, ἀντέστη κατὰ τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἐξαρεῖτε τὸν πονηρὸν ἐξ ὑμῶν αὐτῶν, καὶ οἱ ἐπίλοιποι φοβηθήσονται[4].

[1] Lev. XXIV 17. 18. 19. [2] Num. XXXV 30. 31. 32. [3] Deut. XVII 6. 7. [4] Deut. XIX 15. 16. 17. 18. 19. 28.

ΜΖ. Περὶ φαρμακῶν, ἐγγαστριμύθων καὶ ἐπαοιδῶν.

α΄. (*Ἐκ τοῦ αὐτοῦ*). Φαρμακοὺς οὐ περιϐιώσετε[1]·

ϐ΄. Οὐκ ἐπακολουθήσετε ἐγγαστριμύθοις, καὶ τοῖς ἐπαοιδοῖς οὐ προσκολληθήσεσθε, ἐκμιανθῆναι ἐν αὐτοῖς· ἐγὼ κύριος ὁ θεὸς ὑμῶν.

γ΄. Ψυχὴ ἣ ἂν ἐπακολουθήσῃ ἐγγαστριμύθοις ἢ ἐπαοιδοῖς, ὥστε ἐκπορνεῦσαι ὀπίσω αὐτῶν, ἐπιστήσω τὸ προσωπόν μου ἐπὶ τὴν ψυχὴν ἐκείνην, καὶ ἀπολῶ αὐτὴν ἀπὸ τοῦ λαοῦ αὐτῆς· καὶ ἀνὴρ ἢ γυνὴ ὃς ἂν γένηται αὐτῶν ἐγγαστρίμυθος ἢ ἐπαοιδὸς, θανάτῳ θανατούσθωσαν, λίθοις λιθοϐολήσετε αὐτοὺς, ἔνοχοί εἰσιν[2].

[1] In vet. testam. editionis Leand. Van Ess (Lipsiae 1879) legitur φαρμακοὺς οὐ περιποιήσετε. Exod. XXII. 18. [2] Exod. XXII 18. Lev. XIX 31. XX 6. 27.

GLOSSARIUM

Prior numerus titulum, secundus paragraphum, postremus paginam ostendit, literæ L. M. Legem Mosaicam significant.

A

'Αγαπητικῶς διάκεισθαι B ιγ'. 14.
'Αγέλη IZ ιγ'. 43
'Αγορασία ΘΑ α'. 26.
'Αγροὶ ΙΓ α'. 33.
'Αγχιστεύων L. M. ΜΕ γ'. 95.
'Αγνωμοσύνη Θ. β'. 27.
'Αδιάθετος ϛ α'. 20. 21.
'Αδιάλυτος ἕνωσις B ιγ'. 13.
'Αζήμιον ποιεῖν IZ η'. θ'. 42. 43.
'Αθυσιασταί App. IV ιε'. 66.
Αἰγύπτιοι App. V β'. 68.
Αἱμομίκτης IZ λγ'. 47. L.M. ΛΑ. 91.
Αἱρετικὸς App. IV α'. β'. γ'. ϛ'. ιδ'. 64. 66. VI κζ'. κη'. 72.
Αἰσχρῶς διάγειν ϛ ιγ'. 23.
Αἰχμαλωσία E α'. 17.
Αἰχμάλωτος H ϛ'. 25.
'Ακόνιτον App. VI ιε'. 71.
'Ακροαταὶ E ε'. 18,20. H ϛ'. 25. I α'. 28. IA α'. 30. IZ κζ'. μα'. μζ' 46. 48-50.
'Αλαλος E α'. 18.
'Αλλακτὰ IZ α'. κ'. 41. 44.
'Αλογευόμενος IZ λθ'. 48. L.M. ΚΘ'. 91.
'Αλογον App. III A ιβ'. 57.
'Αλωνες L. M. K. α'. 87.
'Αμβλωθρίδιον App. VI ιη'. 71.
'Αμβλῶσα L. M. ΚΖ. 90.
'Αμνημόνευτον ἐᾶν E ε'. 18.
'Αμνήστευτος L. M. ΚΕ. α'. 89.
'Αμπελὼν IZ μα'. 48. L. M. ΙΗ α'. 87.
'Αναβαπτίζειν App. IV ιη'. ιθ'. 66.
'Αναγραφὴ B. ϛ'. 9. ϛ η'. 21.
'Αναγωγὴ I. α'. 28.
'Ανάδοχος B β'. 6.
'Αναμοιρία Γ β'. 15.
'Αναργυρία Γ. α'. 15.
'Αναστροφὴ I α'. 28.
'Ανδράποδον App. VI κϛ'. 72.
'Ανδρόγυνον B η'. 11.
'Ανδροφόνος IZ μθ'. 50. App. II. δ'. 54.
'Ανέγκλητος I δ'. 29.
'Ανεύπορος IZ κθ'. 47.
'Ανεψιός-ὰ IZ λγ'. 47.
'Ανήλικοι B ια'. 12. E α'. 17.
'Ανιόντες App. VII α'. 73.
'Αννόνα Ιϛ δ'. 39.
'Αντίδοσις App. VI ιβ'. 71.
'Αντισύγγραφα B δ'. 8.
'Αντιφώνησις ϛ ιγ'. 23. App. I α'. 53.
'Αξία ΙΔ α'. 33. App. IV κβ'. ι'. 65.67.
'Αξίωμα App. V δ'. 68.
'Αξιωματικοὶ Ιϛ δ'. 40.
'Αποαναχωρεῖν B η'. 11.
'Απελασία IZ ιγ'. 43.
'Απελεύθερος H ζ'. 25 App. VIII β'. 75.
'Απεριέργως συναλλάσσειν B ια'. 12.
'Απογράφεσθαι H α'. 24.
'Αποδεκατοῦσθαι App. III A ιδ'. 57.
'Αποδημῶν App, I ε'. 54.
'Αποκατάστασις B ιβ' 13. IZ ια'. ιζ'. 44. 43. Z α'. 24.
'Αποκεφαλισμὸς App. VI ιϛ'. 71.
'Αποκινεῖσθαι ΙΔ β'.
'Απολλινάριος App. IV ιζ' 66.
'Απολλιναρισταὶ App. IV ιε'. 66.

Β

Γ

Ζ

Ξ

Ο

Π

P

Σ

ΕΝ ΑΘΗΝΑΙΣ

Τυποις των Αδελφων Περρη

1889